7105

6

10

6_10.b.45.

ΕΚΛΕΚΤΑ

ΤΩΝ

ΕΛΛΗΝΙΚΩΝ

ΓΡΑΦΕΩΝ·

SELECTA

EX GRAECIS

SCRIPTORIBUS.

BIBLIOTECA NAZ.
ROMA
VITTORIO EMANUELE

ROMAE MDCCLXXVII.

Typis Sac. Congreg. de Propaganda Fide

Superiorum Facultaoe.

ΛΟΥΚΙΑΝΟΥ

ΔΙΑΛΟΓΟΙ.

Κυνὸς, Πλάτων, Μένιππος
Μίδας, Σαρδανάπαλος.

BIBLIOTECA ROMA VITTORIO EMA

ά.

ΚΡ. Τ' φέρομεν, ὦ Πλάτων, Μένιππον τουτονὶ τὸν κύνα παροινοῦντα· ὥστε ἢ ἐκεῖνόν τι κατάστησον, ἢ ἡμεῖς μεταστησόμεθα εἰς ἕτερον τόπον. ΠΛ. Τί δ' ὑμᾶς δεινὸν ἐργάζεται ὁμόνεκρος ὤν; ΚΡ. Ἐπειδὰν ἡμεῖς οἰμώζομεν, καὶ στένομεν, ἐκεῖνος μεμνημένος τῆς ἄνω, Μίδας μὲν

ὑτοσὶ τῦ χρυσίκ, Σαρδανάπαλ@ δὲ ὃ πολλῆς τρυφῆς, ἐγὼ δὲ τὴν θησαυρῶν, ὄπγελᾷ, καὶ ξονειδίζει, ἀνδράποδα, καὶ καθάρματα ἡμᾶς ἀποκαλῶν· ἐνίοτε δὲ καὶ ᾄδων ἐπιλαμβάπει ἡμῖν τὰς οἰμωγάς· καὶ ὅλως λυπηρός ὅξι· ΠΛ. Τί ταῦτα φασὶν, ὦ Μένιππε; ΜΕ. Ἀληθῆ, ὦ Πλύτων· μισῶ γὰρ αὐτῦ ἀγχυνεῖς, καὶ ὀλεθείυς ὄντας, οἷς ἐκ ἀπέχρησε βιῶναι κακῶς, ἀλλὰ καὶ ἀποθανόντες ἔτι μέμνηνται, & ἀμελέχονται τὴν ἄνω· χαίρω τοιγαρῦν ἀνιῶν αὐτύς. ΠΛ. Ἀλλ' ὰ χρή. λυπῦνται γὰρ ὰ μικρῶν σερέμνοι. ΜΕ. Καὶ σὺ μωραίνεις, ὦ Πλύτων, ὁμόψηφος ὢν τοῖς τύτων σεναγμοῖς; ΠΛ. Οὐδαμῶς· ἀλλ' ὐκ ἂν ἐθελήσαιμι σασιάζειν ὑμᾶς. ΜΕ. Καὶ μὰ, ὦ κάκισοι Λυδῶν, & Φρυγῶν, καὶ Ἀσυρίων, ἔτω γινώσκετε, ὡς ὰ δὲ ἀπαυσομάι μι, ἔνθα γὰρ ἄν ἵπτε, ἀκολυθήσω ἀνιῶν.

καὶ

καὶ κατάδων, ἢ καζαγελῶν. ΚΡ. Ταῦτα ἐχ' ὕβρεις; ΜΕ. Οὔκ· ἀλλ' ἐκεῖνα ὕβρεις ἦν, ἃ ὑμεῖς ἐποιεῖτε φρονκωμεῖδς ἀξιοῦντες, καὶ ἐλευθέροις ἀνδράσιν ἐντρυφῶντες, καὶ τὸ θανάτου τὸ ᾅδου ἐμπαν ὲ μνημονεύοντες· τοιγαρῆν οἰμώζετε πάντων ἐκείνων ἀφηρημένοι. ΚΡ. Πολλῶν γε, ὦ θεοὶ, καὶ μεγάλων κτημάτων· ΜΙ. Ὅσου μὴν ἐγὼ χρυσοῦ. ΣΑ. Ὅσης δ' ἐγὼ ξυφῆς. ΜΕ. Εὖγε, ἕτω ποιεῖτε, ὀδύρεσθε μὴν ὑμεῖς. ἐγὼ δὲ τὸ Γνῶθι σαυτὸν πολλάκις συνείρων, ἐπάσομαι ὑμῖν· ῥᾴων δ' ἂν ταῖς τοιαύταις οἰμωγαῖς ἐπαδόμην.

Ἑρμῆς, Χάρων.

β'.

ΕΡ. Λογιστέον, ὦ Πορθμεῦ, εἰ δοκεῖ ὁπόσα μοι ὀφείλεις ἤδη, ὅπως μὴ αὖθις ἐείζωμέν τι

περὶ αὐτῶν· ΧΑ. Λογισώμεθα, ὦ Ἑρμῆ· ἄμεινον γὰρ οὕτω περὶ αὐτῶν, καὶ ἀπραγμονέστερον. ΕΡ. Ἄγκυραν ἐνταλαμβάνω ἑκόμισα πέντε δραχμῶν· ΧΑ. Πολλῶ λέγεις. ΕΡ. Νὴ τὸν Ἀϊδωνέα, τὸν πέντε ὠνησάμην, καὶ τετραπωτῆρα δύο ὀβολῶν. ΧΑ. Τίθει πέντε δραχμὰς, καὶ ὀβολὼ δύο. ΕΡ. Καὶ ἀκέστραν ἐφ' ᾗ ἱστίον, πέντε ὀβολὼ ἐγὼ κατέβαλον. ΚΑ. Καὶ τούτους τίθει. ΕΡ. Καὶ κηρὸν ὡς ὁπλάσω τὸ σκαφίδιον τὰ ἀνεῳγότα, καὶ ἧλος δὲ, ὦ καλώδιον, ἀφ' οὗ τὸν ὑπέραν ἐπόησας, δύο δραχμῶν ἄπωθα. ΧΑ. Εὖγε ἄξια ταῦτα ὠνήσω. ΕΡ. Τωῦτά ἐστιν, εἰ μή τι ἄλλο ἡμᾶς διέλαθεν ἐν τῷ λογισμῷ· πότε δ' ἂν ταῦτ' ἀποδώσειν φὴς; ΧΑ. Νεῦ μὰ, ὦ Ἑρμῆ, ἀδυνάτου, ἢν ὁ λοιμός τις, ἢ πόλεμος καταπέμψῃ ἀθρόους τινὰς, ἐνέσται τότε ἀποκερδάναι ἐν τῷ πλήθει τῶν ἀλογιζομένων

ζόμενον τὰ πορθμία. ΕΡ. Νεῦ ἔν ἐγὼ καθεδεῖμαι, τὰ κάκιστα δ' ἐχόμενος κλύειν, ὡς ἂν ἀπὸ τούτων ἀπολαύοιμι. ΧΑ. Οὐκ ἔστιν ἄλλως, ὦ Ἑρμῆ· νεῦ ἢ ὀλίγοι, ὡς ὁρᾷς, ἀφικνοῦνται ἡμῖν· εἰρήνη γάρ. ΕΡ. Ἄμεινον ἄτως, εἰ δ' ἡμῖν προσείνοιτο ὑπὸ σοῦ τὸ ὄφλημα· πλεῦ ἀλλ' οἱ μὲν παλαιοὶ, ὦ Χάρων, οἶσθα οἷοι παρεγίνοντο, ἀνδρεῖοι ἅπαντες αἵματος ἀνάπλεῳ, καὶ ξαυματίαι οἱ πολλοί· νεῦ ἢ ἢ φαρμάκῳ τις ὑπὸ τοῦ παιδὸς ἀποθανών, ἢ ὑπὸ γυναικὸς, ἢ ὑπὸ ξυφῆς ὀξῳδηκὼς τὴν γαστέρα, καὶ τὰ σκέλη· ὠχροὶ γὰρ ἅπαντες, καὶ ἀθυμοῦντες, καὶ ὅμοιοι ἐκείνοις· οἱ δὲ πλεῖστοι αὐτῶν δι' ἐχθρημάτα ἥκουσιν, ὑπερβαλόντες ἀλλήλοις, ὡς ἐοίκασι. ΧΑ. Πάνυ γὰρ πολυπόθητά ἐστι ταῦτα. ΕΡ. Οὐκοῦν ἐγὼ δόξαιμι ἂν ἁμαρτάνειν πικρῶς ἀπαιτῶν τὰ ὀφειλόμενα σοῦ.

Ἥφαιστος, καὶ Ζεύς.

γ'.

ΗΦ. Τί με, ὦ Ζεῦ, δεῖ ποιεῖν; ἥκω γὰρ, ὡς ἐκέλευσας, ἔχων τὸ πέλεκυν ὀξύτατον, εἰ μὴ λίθος δέοι μιᾷ πληγῇ διατεμεῖν. Ζ. Εὖγε, ὦ Ἥφαιστε, ἀλλὰ δίελέ μου τὴν κεφαλὴν εἰς δύο κατενεγκών. ΗΦ. Πειρᾷ μου, εἰ μέμηνα; φράσατε δ' ὅν τ' ἀληθὲς, ὅπερ θέλεις σοι γενέσθω. Ζ. Διαιρεθῆναί μοι τὸ κρανίον, εἰ ἢ ἀπειθήσας, ἐς νεῶ πρῶτον ὀργιζομένῳ πειράσῃ μου. ἀλλὰ χρὴ καθικνεῖσθαι παντὶ τῷ θυμῷ, μηδὲ μέλλειν· ἀπόλλυμαι γὰρ ὑπὸ τῆς ὠδῖνος, αἵ μου τὸ ἐγκέφαλον ἀναστρέφουσιν. ΗΦ. Ὄρα, ὦ Ζεῦ, μὴ κακόν τι ποιήσωμεν· ὀξὺς γὰρ ὁ πέλεκύς ἐστι, καὶ οὐκ ἀναμενεῖ, οὐδὲ κῆρ τὴν Εἰλείθυιαν μαιώσεταί σε. Ζ. Κατένεγκε μόνον, ὦ Ἥφαιστε, θαρρῶν· οἶδα γὰρ ἐγὼ τὸ συμ-

συμφέρον· ΗΦ. Ἄκων μὲν, καθίσω δέ. τί γὰρ ἐχρὴ ποιεῖν, σὲ κελεύοντος; τί τοῦτο; κόρη ἔνοπλος; μέγα, ὦ Ζεῦ, κακὸν εἶχες ἐν τῇ κεφαλῇ· εἰκότως γὲν ὀξύθυμος ἦσθα, τηλικαύτην ὑπὸ τὴν μήνιγγα παρθένον ζωογονῶν, καὶ ταῦτα ἔνοπλον· ἦττον κρατόπεδον, ἢ κεφαλὴν ἐλελήθεις ἔχων· ἡ δὲ πηδᾷ τε πυρριχίζεται, καὶ τὴν αἰγίδα τινάσσεται, καὶ τὸ δόρυ πάλλεται, καὶ ἐνθυσιᾷ· καὶ τὸ μέγιστον, καλὴ πάνυ, καὶ ἀκμαία γεγήθυται ἤδη ἐν βραχεῖ· γλαυκῶπις μὲν, ἀλλὰ κοσμεῖ καὶ τοῦτο ἡ κόρυς· ὥστε, ὦ Ζεῦ, μαίωξά μοι ἀπόδος ἐγγυήσας μοι αὐτήν. Ζ. Ἀδυνάτα αἰτεῖς, ὦ Ἥφαιστε, παρθένος γὰρ ἀεὶ θέλει μένειν· ἐγὼ γοῦν τόγε ἐπ' ἐμοὶ, οὐδὲν ἀντιλέγω. ΗΦ. Τοῦτ' ἐβουλόμην· ἐμοὶ μελήσει τὰ λοιπά. Καὶ ἤδη σοι ἁρπάσω αὐτήν. Ζ. Εἰ σοι ῥᾴδιον, ἕτω ποίει· πλὴν οἶδα, ὅτι ἀδυνάτων ἐρᾷς.

Μένιππος, καὶ Κέρβερος.

ν.

ΜΕ. Ὦ Κέρβερε, συγγενὴς γὰρ εἰμί σοι, κύων καὶ αὐτὸς ὤν, εἰπέ μοι πρὸς τῆς Στυγὸς, οἷος ἦν ὁ Σωκράτης, ὁπότε κατήει πρὸς ὑμᾶς; εἰκὸς δέ σε θεὸν ὄντα μὴ ὑλακτεῖν μόνον, ἀλλὰ καὶ ἀνθρωπικῶς φθέγγεσθαι, ὅτῳ τ' ἐθέλοις. ΚΕ. Πόρρωθεν μέν, ὦ Μένιππε, παντάπασιν ἐδόκει ἀρέσπειν τῷ προσώπῳ προσιέναι, καὶ ἅπαν δεδιέναι τὸν θάνατον δοκῶν, καὶ τοῦτ' ἐμφανὲς τοῖς ἔξω τοῦ στόματος ἐσῶσιν ἐθέλων· ἐπεὶ δὲ κατέκυψεν ἔσω τοῦ χάσματος, καὶ εἶδε τὸν ζόφον, κἀγὼ ἔτι διημέλλησα αὐτὸν δακὼν τὸν κωνείῳ κατέπασα τοῦ ποδὸς, ὥσπερ τὰ βρέφη ἐκώκυε, καὶ τὰ ἑαυτοῦ παιδία ὠδύρετο, καὶ παντοῖος ἐγίνετο. ΜΕ. Οὐκοῦν σοφιστὴς ὁ ἄνθρωπος ἦν, καὶ ἐκ ἀληθῶς κα-

κατεφρόνει τῶν πραγμάτων; ΚΕ. Οὐκ. ἀλλ' ἐπείπερ ἀναγκαῖον αὐτὸ ἐώρα, κατεθεασώμην, ὡς δῆθεν ἐκ ἄκων πεισόμενος, ὃ πάντως ἔδει παθεῖν, ὡς θαυμάσονται οἱ θεαταί· καὶ ὅλως πρὶ πάντων γε τῆδ' τοιούτων εἰπεῖν ἂν ἔχοιμι, ἕως τῶν σομίων ὁλμηρὸι, καὶ ἀνδρεῖοι, τάδ' ἔνδοθεν, ἔλεγχος ἀκεραβής. ΜΕ. Ἐγὼ ἢ πῶς σοι κατελπλυθένω ἔδοξα; ΚΕ. Μόνος, ὦ Μένιππε, ἀξίως τῶν γλώττης, καὶ Διογένης πρὸ σοῦ· ὅτι μὴ ἀναγκαζόμενοι ἐστήκατε, μηδ' ὠθούμενοι· ἀλλ' ἐθελούσιοι, γελῶντες, οἰμώζειν παραγγείλαντες ἅπασιν.

Διογένης, Μαύσωλος.

ε.

ΔΙ. Ὦ Κὰρ, ὅπῃ τίνι μέγα φρονεῖς, καὶ πάντων ἡμῶν προτιμᾶσθαι ἀξιοῖς; ΜΑ. Καὶ ὅπῃ τῇ βασι-

λείᾳ μὲν, ὦ Σινωπεῦ, ὃς ἐβασίλευσα Καρίας μὲν ἁπάσης, ἦρξα δ' καὶ Λυδῶν ἐνίων· καὶ νήσους δέ τινας ὑπηγαγόμην, καὶ ἄχρι Μιλήτου ἐπέβην, τὰ πολλὰ δ' Ἰωνίας καθεστρεφόμην· καὶ καλὸς ἦν, καὶ μέγας, καὶ ἐν πολέμοις καρτερός· τὸ δὲ μέγιστον, ὅτι ἐν Ἁλικαρνασσῷ μνῆμα παμμέγεθες ἔχω ὑπερκείμενον, ἡλίκον οὐκ ἄλλος νεκρός, ἀλλ' οὐδὲ ὕστερος ἐς κάλλος ἐξησκημένον, ἵππων, καὶ ἀνδρῶν ἐς τὸ ἀκριβέστατον εἰκασμένων, λίθου τοῦ καλλίστου, οἷον οὐδὲ νεὼν εὕροι τις ἂν ῥᾳδίως· ἃ δοκῶ σοι δικαίως ὑπὲρ τούτοις μέγα φρονεῖν; ΔΙ. Ἐπὶ τῇ βασιλείᾳ φῂς, καὶ τῷ κάλλει, καὶ τῷ βάρει τοῦ τάφου; ΜΑ. Νὴ Δί' ὑπὲρ τούτοις. ΔΙ. Ἀλλ' ὦ καλὲ Μαύσωλε, ἆρα ἡ ἰσχύς ἔτι σοι ἐκείνη, ἆρα ἡ μορφὴ παρέσται· εἰ γάρ τινα ἐλπίμεθα δίκας λήψεσθαι ἀμορφίας πέρι, οὐκ ἔχω εἰπεῖν τίνα ἕνεκα τὸ σὸν κρανίον προτιμηθείη

ἂν

ἂν τῷ ἐμῷ· φαλακρὰ γὰρ ἄμφω, καὶ γυμνά· καὶ τὰς ὀδόντας ὁμοίως φαίνομεν, καὶ τὰς ὀφθαλμὰς ἀφηρήμεθα, καὶ τὰς ῥῖνας ἀποσεσιμώμεθα· ὁ δὲ τάφος, καὶ οἱ πολυτελεῖς ἐκεῖνοι λίθοι, Ἁλικαρνασσεῦσι μὲν ἴσως εἶεν ὑπερήφανοι, καὶ φιλοτιμεῖται πρὸς σοῦ ξένους, ὡς δή τι μέγα οἰκοδόμημα αὐτοῖς ὄντι· σὺ δὲ ὦ βέλτιστε, οὐχ ὁρᾷς, ὅ, τι ἀπολαύεις αὐτοῦ, πλὴν εἰ μὴ τοῦτο φῂς, ὅτι μᾶλλον ἡμῖν ἀχθοφορεῖς ὑπὸ τηλικούτοις λίθοις πιεζόμενος. ΜΑ. Ἀνόητα ἔν μοι ἐκεῖνα πάντα, καὶ ἰσότιμα ἔσται Μαύσωλος, καὶ Διογένης; ΔΙ. Οὐκ ἰσότιμος, ὦ γενναιότατε· οὐ γάρ. Μαύσωλος μὲν γὰρ οἰμώξεται, μεμνημένος τῆς ἐπὶ γῆς, ἐν οἷς εὐδαιμονεῖν ᾤετο. Διογένης δὲ καταγελάσεται αὐτοῦ· καὶ τάφον ὁ μὲν ἐν Ἁλικαρνασσῷ ἑρεῖ ἑαυτῷ ὑπὸ Ἀρτεμισίας τῆς γυναικὸς, καὶ ἀδελφῆς κατεσκευασμένον· ὁ

Διο-

Διογένης ὁ τὸ μὲν σωμάτιον, εἰ καί τινα τάφον ἔχει, οὐκ οἶδεν· οὐδὲ ἐγὼ ἔμελεν αὐτῷ τούτου· λόγον δὲ τοῖς ἀείσοις ὅμοιον αὐτὸν καταλέλοιπεν, ἀνδρὸς βίον βεβιωκὼς ὑψηλότερον, ὃν Καρῶν ἀνδραποδώδεστατε, τὸ σὸν μνήματος, καὶ ἐν βεβαιοτέρῳ χωρίῳ κατεσκευασμένον.

ΙΣΟΚΡΑΤΟΥΣ

ΠΡΟΣ

ΔΗΜΟΝΙΚΟΝ

ΛΟΓΟΣ ΠΑΡΑΙΝΕΤΙΚΟΣ.

Ἐν πολλοῖς μὲν ὦ Δημόνικε πολὺ διεσῶσας εὑρήσομεν τὰς τε τῶν ἀνοήτων γνώμας, καὶ τὰς τῶν φαύλων διανοίας· πολὺ δὲ μεγίστην διαφορὰν εἰλήφασιν ἐν ταῖς πρὸς ἀλλήλους συνηθείαις· οἱ μὲν γὰρ σοφοὺς φίλους παρόντας μόνον τιμῶσιν· οἱ δὲ καὶ μακρὰν ἀπόντας ἀγαπῶσι. καὶ τὰς μὲν τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσε·

λυσε· τὰς δὲ τῶν ἀνδραπόδων φιλίας, ἃς δ' ἂν ὁ πᾶς αἰὼν ἐξελείψειν. ἡγέμονα δὲ σὸν πρέπειν σοὶ δόξης ὀρεγομένης, καὶ παιδείας ἀντιποιουμένης, τῶν ἀνδραπόδων, ἀλλὰ μὴ τῶν φαύλων καὶ μιμητάς, ἀπέσταλκά σοι τόνδε τὸν λόγον δῶρον, τεκμήριον μὲν τῆς πρὸς ἡμᾶς φιλίας, σημεῖον δὲ τῆς πρὸς Ἰπποκλέα συνηθείας· πρέπει γὰρ σοὶ παῖδας, ὥσπερ τὰς οὐσίας, οὕτω καὶ τὰς φιλίας τὰς πατρικῆς κληρονομεῖν· ὅρα δὲ καὶ τοῦτο τύχῃ ἡμῖν συλλαμβάνουσαν, καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον· σὺ μὲν γὰρ παιδείας ἐπιθυμεῖς, ἐγὼ δὲ παιδεύειν ἄλλους ἐπιχειρῶ, καὶ σὺ μὲν ἀκούειν φιλοσοφεῖς, ἐγὼ δὲ σοὶ φιλοσοφοῦντας ἐπανορθῶ· ὅσοι μὲν οὖν πρὸς σοὶ ἑαυτῷ φίλως σοὶ προσπεπτικὼς λόγους συγγράφουσι, καλὸν μὲν ἔργον ἐπιχειροῦσιν, ὠφελοῦσι μὲν πρέ γε τὸ κεφάλαιον τῆς φιλοσοφίας ἐμφερόμενοι· ὅσοι δὲ

τοῖς

τοῖς νεωτέροις εἰσηγοῦνται, μὴ δι' ὧν τὴν δεινότητα τὴν ἐν τοῖς λόγοις ἀσκήσουσιν, ἀλλ' ὅπως τὰ τῶν ξένων ἤθη σωφρονοῦσι πεφυκέναι δόξουσι, τοσούτῳ μᾶλλον ἐκείνων τὰς ἀκοὰς ὠφελοῦσιν, ὅσον οἱ μὲν ὅτι λόγον μόνον σωφρονοῦσιν, οἱ δὲ καὶ τὸ τρόπον αὐτῶν ἐπανορθοῦσι· διόπερ ἡμεῖς οὐ σωφρονίσειν οἰόμενοι, ἀλλὰ παραινέσειν ἁψάμενοι, μέλλομέν σοι συμβουλεύειν, ὧν χρὴ σὲ νεωτέρους ὀρέγεσθαι, καὶ τίνων ἔργων ἀπέχεσθαι, καὶ τοῖς τισὶν ἀνθρώποις ὁμιλεῖν, καὶ πῶς τὸν ἑαυτοῦ βίον οἰκονομεῖν· ὅσοι γὰρ τῷ βίῳ τούτῳ τῷ ὁδὸν ἐπορεύθησαν, ἔστι μόνοι τὸν ἀρετῆς ἐφικέσθαι γνησίως ἐδυνήθησαν, ἧς οὐδὲν κτῆμα σεμνότερον, οὐδὲ βεβαιότερόν ἐστι· κάλλος μὲν γὰρ ἡ χρόνος ἀνάλωσεν, ἢ νόσος ἐμάρανε· πλοῦτος ἢ κακίας μᾶλλον, ἢ καλοκἀγαθίας ὑπηρέτης ἐστὶν, ἐξουσίαν μὲν τῇ ῥᾳθυμίᾳ παρασκευάζων, ὅτι

ἐπὶ δὲ τὰς ἡδονὰς τοὺς νέους ὠθοῦσι καλῶν· ῥώμη δὲ μὲν μὴ φεύγησεως ὠφέλησεν, ἀνὴρ δὲ ταύτης πλείω τοῦ ἔχοντας ἔβλαψε, καὶ τὰ μὲν σώματα τῶν ἀσκούντων ἐκόσμησε, ταῖς δὲ τῆς ψυχῆς ἐπιμελείαις ἐπεσκότησεν· ἡ δὲ τῆς ἀρετῆς κτῆσις, οἷς ἂν ἀκριβῶς ἐν ταῖς διανοίαις ἐνυπάρξῃ, μόνη μὲν συμφέρουσα, πλούτου δὲ κρείττων, χρησιμωτέρα δὲ ὑγιείας ἐστί· τὰ μὲν τοῖς ἄλλοις ἀδυνάτα, δυνατὰ καθιστῶσα, τὰ δὲ τῷ πλήθει φοβερὰ, θαρσαλέως ὑπομένουσα· καὶ τὸ μὲν ὄκνον, φόβον, τὸ δὲ πόνον, ἔπαινον ἠγουμένη· ῥᾴδιον δὲ τοῦτο καταμαθεῖν ἐστιν, ἔκ τε τῶν Ἡρακλέους ἄθλων, καὶ τῶν Θησέως ἔργων· οἷς ἡ τῶν ἔπων ἀρετὴ τηλικοῦτον δόξης χαρακτῆρα τοῖς ἔργοις ἐπέβαλεν, ὥς τε μηδὲ τὸν ἅπαντα χρόνον δυνάσθαι λήθῃ ἐμποιῆσαι τοῖς ἐκείνοις πεπραγμένοις. ὃ μὲν ἀλλὰ καὶ τὰς τοῦ παιδὸς

περι-

πεφιμρέσεις ἀναμνησθεὶς, οἰκεῖον καὶ καλὸν ἔξεις παράδειγμα τὸν ὑπ' ἐμοῦ λεγομένων. ὐδὲ γὰρ ὀλιγωρῶν τ' ἀρετῆς, ὐδὲ ῥαθυμῶν, διετέλεσε τὸν βίον· ἀλλὰ τὸ μὲν σῶμα τοῖς πόνοις ἐγύμναζε, τῇ δὲ ψυχῇ τὸς κινδύνους ὑπεμένεν· ὐδ' ἦν πλοῦτον παρακαίρως ἠγάπα· ἀλλ' ἀπήλαυε μὲν τῶν παρόντων ἀγαθῶν, ὡς θνητὸς, ἐπεμελεῖτο δ' τῶν ὑπαρχόντων ὡς ἀθάνατος· ὐδὲ ταπεινῶς διῴκει τὸν ἑαυτοῦ βίον, ἀλλὰ φιλόκαλός τε ἦν, καὶ μεγαλοπρεπὴς, καὶ τοῖς φίλοις κοινός· καὶ μᾶλλον ἐθαύμαζε τοὺς περὶ αὐτὸν σπουδάζοντας, ἢ τοὺς τῷ γνώμῃ πεισθέντας· ἡγεῖτο γὰρ εἶναι πρὸς ἑταιρείαν πολλῷ κρείττω φύσιν νόμου, καὶ ζόφον γνώσης, καὶ προαίρεσιν ἀνάγκης· ὑπολίποι δ' ἂν ἡμᾶς ὁ πᾶς χρόνος, εἰ πάσας τὰς ἐκείνου πράξεις καταριθμησαίμεθα, ἀλλὰ τὸ μὲν ἀκριβὲς αὐτῶν ἐν ἑτέροις καιροῖς δηλώσομεν.

μὴν· δεῖγμα γὰρ Ἰφικράτους φύσεως νῦν ἐξενηνόχαμεν, πρὸς ὃ δεῖ ζῆν σε, ὥσπερ πρὸς παράδειγμα, νόμον μὲν τὸν ἐκείνου βέλτιον ἡγησάμενον, μιμητὴν δὲ καὶ ζηλωτὴν τῆς παρ' ὑμᾶς ἀρετῆς γιγνόμενον· αἰσχρὸν γὰρ σοὶ μὲν γεγραφεῖς ἀπεικάζειν τὰ καλὰ τῶν ζώων, σὺν δὲ παῖδας μὴ μιμεῖσθαι τοὺς αὑτοῦ τοὺς τῶν γονέων. ἡγεῖμαι δὲ μηδενὶ τῶν ἀθλητῶν ἔτι πρόσθεν γεγενῆσθαι σὲ ἀνταγωνιστὰς ἀσκεῖν, ὡς σοὶ σκοπεῖν, ὅπως ἐφάμιλλα γνώσῃ τοῖς τε πατρὸς ἐπιτηδεύμασιν· ἔτω δὲ τῷ γνώμῃ ἀδύνατον διαπεφεύγειν, τὸν μὴ πολλῶν καὶ καλῶν ἀκουσμάτων πεπληρωμένον. τὰ μὲν γὰρ σώματα τοῖς συμμέτροις πόνοις, ἡ δὲ ψυχὴ τοῖς αὐτοῖς λόγοις αὔξεται πέφυκε· διόπερ ἐγώ σοι πειράσομαι συντόμως ὑποθέσθαι, δι' ὧν ἂν μοι δοκοίης ἐπιτηδευμάτων πλεῖστον πρὸς ἀρετὴν ἐπιδοῦναι, καὶ πρὸς τοῖς

ἄλ-

ἄλλοις ἅπασιν ἀνθρώποις δόκιμῆσαι. Πρῶτον μὲν ἴσθι τὰ πρὸς τοὺς θεούς, μὴ μόνον θύων, ἀλλὰ καὶ τοῖς ὅρκοις ἐμμένων· ἐκεῖνο μὲν γὰρ τῶν χρημάτων ἀπορίας σημεῖον, τοῦτο δὲ, τῆς τῶν ἔργων καλοκἀγαθίας τεκμήριον. τίμα τὸ δαιμόνιον ἀεὶ μὲν, μάλιστα δ' ἐν πόλεως· οὕτω γὰρ δόξεις ἅμα τε τοῖς θεοῖς θύειν, καὶ τοῖς νόμοις ἐμμένειν· τοιοῦτος γίγνου πρὸς τοὺς γονεῖς. οἵους ἂν ἄξιος πρὸς σεαυτὸν γενέσθαι σοῦ σαυτῷ παῖδας· ἄσκει τῶν πρὸς τὸ σῶμα γυμνασίων, μὴ τὰ πρὸς τὸν ῥώμην, ἀλλὰ τὰ πρὸς τὴν ὑγίειαν συμφέροντα· τοῦτο δ' ἂν ἐπιτυγχάνοις, εἰ λήγεις τῶν πόνων ἔτι πονεῖν δυνάμενος· μήτε γέλωτα πρόπετῆ ἔργε, μήτε λόγον μὴ θράσος ἀποδέχου· τὸ μὲν γὰρ ἀνόητον, τὸ δὲ μανικόν. ἃ ποιεῖν αἰσχρὸν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν. ἔθιζε σαυτὸν εἶναι μὴ σκυθρωπὸν,

BIBLIOTECA NAZ. ROMA MUSEO

πὸν, ἀλλὰ σύνεσιν· δι' ἐκεῖνο μὲν γὰρ ἀυθάδης, δίκαιος δὲ τοῦτο φρόνιμος εἶναι δόξεις. ἡγοῦ μάλιστα σεαυτῷ πρέπειν, κόσμον, αἰσχύνην, δικαιοσύνην, σωφροσύνην· τούτοις γὰρ ἅπασι δοκεῖ κοσμεῖσθαι τὸ τῶν νεωτέρων ἦθος· μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν· καὶ γὰρ ἂν σοῦ ἄλλους λάθῃς, σαυτῷ γε συνειδήσεις. τοὺς μὲν θεοὺς φοβοῦ· σοῦ δὲ γονεῖς τίμα. τοὺς δὲ φίλους αἰσχύνου, τοῖς δὲ νόμοις πίθου· τὰς ἡδονὰς θήρευε, τὰς μετὰ δόξης. τέρψις γὰρ σοὶ τοῦ καλοῦ μόνου, ἄριστον, ἄνευ δὲ τούτου, κάκιστον. διάβαλε τὰς διαβολὰς κἂν ψευδεῖς ὦσιν, οἱ γὰρ πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνοοῦσιν, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν. ἅπαντα δοκεῖ ποιεῖν ὡς μηδένα λήσων, κἂν γὰρ παραυτίκα κρύψῃς, ὕστερον ὀφθήσῃ· μάλιστα δ' ἂν δοκιμοίης, εἰ φαίνοιο ταῦτα μὴ πράττων, ἃ τοῖς ἄλλοις ἂν πράττουσιν ἐπι-

τι-

τιμῴης. ἐὰν ἧς φιλομαθὴς, ἔσῃ καὶ πολυμαθής. ἃ μὲν ἔπισασαι, διαφύλαττε ταῖς μελέταις· ἃ δὲ μὴ μεμάθηκας, παραλάμβανε ταῖς ἐπιστήμαις. ὁμοίως γὰρ αἰσχρὸν ἀκούσαντα χρήσιμον λόγον μὴ μανθάνειν, καὶ διδόμενόν τι ἀγαθὸν παρὰ τῶν φίλων μὴ λαμβάνειν. καταναλίσκε τὸν ἐν τῷ βίῳ χρόνον, εἰς τὸν τῶν λόγων φιλοκαλίαν· ἔστω γὰρ τὰ τοῖς ἄλλοις χαλεπῶς εὑρημένα συμβήσεταί σοι ῥᾳδίως μανθάνειν. ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ, παρὰ πολλῶν εἰς χρημάτων κρείττω. τὰ μὲν γὰρ ταχέως ἀπολείπει, τὰ δὲ πάντα τὸν χρόνον παραμένει· σοφία γὰρ μόνη τῶν κτημάτων ἀθάνατον. μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τὸ διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους. αἰσχρὸν γὰρ τοὺς μὲν ἐμπόρους τηλικαύτα πελάγη διαπερᾶν ἕνεκα τοῦ πλέω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν, σοῦ δὲ νεωτέρους μηδὲ τὰς κατὰ

γλῶ

γλῶ πορείας ὑπομένειν, ὅπῃ τῷ βελτίω κατασῆσαι τὴν ἑαυτῶν διάνοιαν. τῷ μὴν ζόπῳ γίγνε φιλοσοφήγορος, τῷ δὲ λόγῳ ἀσοφήγορος· ἔστι δὲ φιλοσοφηγορίας μὴν, τὸ σοφὸν εἶν ἀπαντῶντας· ἀσοφηγορίας δὲ, τὸ τοῖς λόγοις αὐτοῖς οἰκείως ἐντυγχάνειν. ἡδέως μὴν ἔχε σοὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις. ἔτω γὸ τοῖς μὴν ἐκ ἀπεχθὴς ἔσῃ, τοῖς δὲ φίλος γνήσῃ. τὰς ἐντεύξεις μὴ πυκνὰς ποιῶ τοῖς αὐτοῖς, μηδὲ μακρὰς σοῖ τῶν αὐτῶν. πλησμονὴ γὸ ἁπάντων. Γύμναζε σεαυτὸν πόνοις ἐκουσίοις, ὅπως ἂν δύναμο καὶ τῶν ἀκουσίως ὑπομένειν. ὑφ' ὧν κρατεῖσ τὴν ψυχὴν αἰσχρὸν, τούτων ἐγκράτειαν ἄσκει πάντων, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης. ἔσῃ ὃ τοιοῦτος, ἂν κέρδη μὴν εἶν νομίζῃς, δι' ὧν ἀδοκιμήσῃς, ἀλλὰ μὴ δι' ὧν ἀπορήσῃς· τῇ δὲ ὀργῇ ὡς ἁπλησίως ἔχῃς σοὸς τοὺς ἁμαρ-

ἁμαρτάνοντας, ὥσπερ ἂν πρὸς σαυτὸν ἁμαρτάνοντα μὴ σὺ ἄλλους ἔχειν ἀξιώσειας· ἐν δὲ τοῖς τερπνοῖς, ἂν αἱρετὸν ὑπολάβῃς, τῶν μὲν οἰκετῶν ἄρχειν, ταῖς δ' ἡδοναῖς δουλεύειν. ἐν δὲ τοῖς λυπηροῖς, ἂν τὰς τῶν ἄλλων ἀτυχίας ὑπομένῃς, μὴ σαυτῶν, ὡς ἄνθρωπος ὤν, ὑπομιμνήσκῃς· μᾶλλον τήρει τὰς τῶν λόγων, ἢ τὰς τῶν χρημάτων ἀδικαθήκας. δεῖ γὰρ σὺ ἀγαθὸς ἄνδρας ζόπον ὄρκῳ πιστότερον φαίνεσθαι παρεχόμενος. πρέπειν ἡγοῦ τοῖς πονηροῖς ἀπιστεῖν, ὥσπερ τοῖς χρηστοῖς πιστεύειν. μὴ τὰ ἀπορρήτων μηδενὶ λέγε, πλὴν ἐὰν ὁμοίως ξυμφέρῃ τὰς πράξεις σιωπᾶσθαι σοί τε τῷ λέγοντι, κἀκείνοις τοῖς ἀκούσιν. ὅρκον ἐπακτὸν μὴ δέχου μηδὲ δύο πρὸφάσεις, ἢ σεαυτὸν αἰτίας αἱρεᾶς ἀπολύων, ἢ φίλους ἐκ κινδύνων διασώζων· ἕνεκα γὰρ χρημάτων μηδένα θεὸν ὀμόσῃς, μηδ' ἂν ἐπορκεῖν μέλ-

λης· δόξεις γὰρ τοῖς μὲν ἄπορον εἶναι, τοῖς δὲ φιλοχρημάτου ἔχειν. μηδένα φίλον ποιοῦ πρὶν ἂν ἐξετάσῃς, πῶς κέχρηται τοῖς πρότερον φίλοις. ἔλπιζε γὰρ αὐτὸν καὶ σοὶ γνήσιον τοιοῦτον, οἷος καὶ ἐκείνοις γέγονε· βεβαίως μὲν φίλος γίγνου, χρόμενος δ', πειρῶ δ' ἀμείνων. ὁμοίως γὰρ αἰσχρὸν μηδένα φίλον ἔχειν, καὶ πολλοὺς ἑταίρους μεταλλάττειν. μήτε μὴ βλάβης πειρῶ τοὺς φίλους, μήτε ἄπειρος εἶ τοὺς ἑταίρους θέλε. τοῦτο γὰρ ποιήσεις, ἂν μὴ δεόμενος, τὸ δεῖσθαι προσποιῇ. καὶ τῶν ῥητῶν, ὡς ἀπορρήτων ἀνακοίνου· μὴ τυχὸν μὲν γὰρ, ἥδιον βλαβήσῃ· τυχὸν δ', μᾶλλον τοὺς τρόπους αὐτῶν ἐπιστήσῃ. δοκίμαζε δὲ φίλους ἔκ τε τοῦ καὶ βίον ἀτυχίας, καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας. τὸ μὲν γὰρ χρυσίον ἐν τῷ πυρὶ δοκιμάζομεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγινώσκομεν. οὕτω δ' ἂν ἄρι-

σα χρήσῃ τοῖς φίλοις, ἂν μὴ ἀφειμένης τὰς παρ' ἐκείνων δεήσεις, ἀλλ' ἀντεπάγγελτος ἐν τοῖς καιροῖς, αὐτοῖς βοηθῇς. ὁμοίως αἰσχρὸν νόμιζε τὴν ἐχθρὸν νικᾶσθαι ταῖς κακοποιίαις, καὶ τὴν φίλων ἡττᾶσθαι ταῖς εὐεργεσίαις. ἀποδέχου τὸ ἑταίρου, μὴ μόνον σοῦ ὑπὲρ τοῖς κακοῖς δυσχεραίνοντας, ἀλλὰ καὶ σοῦ ὑπὲρ τοῖς ἀγαθοῖς μὴ φθονοῦντας. πολλοὶ μὲν γὰρ ἀτυχοῦσι τοῖς φίλοις συνάχθονται, καλῶς δὲ πράττουσι φθονοῦσι. Τῶν ἀπόντων φίλων μέμνησο πρὸς τὰς παρόντας, ἵνα δοκῇς μηδὲ τούτων ἀπόντων ὀλιγωρεῖν. εἰ βούλει τὰ πρὸς τὸ ἦθος φιλόκαλος, ἀλλὰ μὴ καλλωπιστής. ἔστι γὰρ φιλοκάλου μὲν, τὸ μεγαλοπρεπὲς, καλλωπιστοῦ δὲ, τὸ περίεργον. ἀγάπα τοὺς ὑπαρχόντων ἀγαθῶν μὴ τὸ ὑπερβάλλουσαν κτῆσιν, ἀλλὰ τὸ μετρίαν ἀπόλαυσιν. καταφρόνει τὴν πρὸς τὸ πλοῦτον σπουδαζόν-

των, χρῆσθαι δὲ τοῖς ὑπάρχουσι μὴ δυναμένων· ἁπλούστερον γὰρ οἱ τοιοῦτοι πάσχουσιν, ὥσπερ ἂν εἴτις ἵππον κτήσαιτο καλὸν, κακῶς ἱππεύειν ἐπιστάμενος. περὶ τὸ πλοῦτον χρήματα καὶ κτήματα κατασκευάζειν. ἔστι δὲ χρήματα μὲν, τοῖς χρῆσθαι δυναμένοις. κτήματα δὲ, τοῖς ἀπολαύειν ἐπισταμένοις. τίμα τὴν ὑπάρχουσαν οὐσίαν δυοῖν ἕνεκα, τοῦτε ζημίαν μεγάλην ἐκτίσαι, καὶ τῷ φίλῳ σπουδαίῳ δυστυχοῦντι βοηθῆσαι. πρὸς δὲ τὸν ἄλλον βίον μηδὲν ὑπερβαλλόντως, ἀλλὰ μετρίως αὐτὸν ἀγάπα· σπέρχε μὲν τὰ παρόντα, ζήτει δὲ τὰ βελτίω. μηδενὶ συμφορᾶν ὀνειδίσῃς. κοινὴ γὰρ ἡ τύχη, καὶ τὸ μέλλον ἀόρατον. τοὺς ἀγαθοὺς ὑποίει. καλὸς γὰρ θησαυρὸς πᾶσι ἀνδρὶ σπουδαίῳ χάρις ὀφειλομένη. κακοὺς δὲ ποιῶν, ὁμοίαν πείσῃ τοῖς τὰς ἀλλοτρίας κώπας σιτίζουσιν· ἐκεῖναί τε γὰρ τοὺς δισθόντας, ὥσπερ

σοῦ

τοὺς τυχόντας ὑλακτοῦσιν· οἵ τε κακοὶ τοὺς ὠφελοῦντας, ὥσπερ τοὺς βλάπτοντας ἀδικοῦσι. μίσει τοὺς κολακεύοντας. ὥσπερ τοὺς ἐξαπατῶντας· ἀμφότεροι γὰρ πιστευθέντες τοὺς πιστεύοντας ἀδικοῦσιν. ἐὰν ἀποδέχῃ τῶν φίλων τοὺς πρὸς τὸ φαυλότατόν σοι χαριζομένους, οὐκ ἔξεις ἐν τῷ βίῳ τοὺς πρὸς τὸ βέλτιστον ἀπεχθανομένους. Γίνου πρὸς τοὺς πλησιάζοντας ὁμιλητικὸς, ἀλλὰ μὴ σεμνός. τῶν μὲν γὰρ τὸν ὑπερφυῆ ὄγκον μόλις ἂν οἱ ἄλλοι καρτερήσειαν, τῶν δὲ τὸ ὁμιλητικὸν τρόπον ἅπαντες ἡδέως ὑποφέρουσιν. ὁμιλητικὸς δ' ἔσῃ μὴ δύσερις ὤν, μηδὲ δυσάρεστος, μηδὲ πρὸς πάντα φιλόνεικος, μηδὲ πρὸς τὰς τῶν πλησιαζόντων ὀργὰς ταχέως ἀπαντῶν· μηδ' ἂν ἀδίκως ὀργιζόμενοι τυγχάνωσιν· ἀλλὰ θυμουμένοις μὲν αὐτοῖς εἶκων, πεπαυμένοις δὲ τῆς ὀργῆς ὁπλιζόμενος. μηδὲ περὶ τὰ γε-

λοῖα ασυδάζων, μηδὲ ωρὸς τὰ ασυδαῖα τοῖς γελοίοις χαίρων· τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν· μηδὲ τὰς χάριτας ἀχαρίστως χαριζόμενος, ὅπερ πάσχουσιν οἱ πολλοὶ, ποιοῦντες μὲν ὧν, ἀηδῶς ἢ τοῖς φίλοις ὑπουργοῦντες· μηδὲ φιλαίτιος ὢν, βαρὺ γάρ· μηδὲ φιλεπιτιμητὴς, ωαροξυντικὸν γάρ. Μάλιστα μὲν οὖν λαμβάνε τὰς ἐν τοῖς ωότοις συνουσίας· ἂν δέ ποτέ σοι συμπέσῃ καιρὸς, ἐξανίστασο ωρὸ μέθης. ὅταν γὰρ ὁ νοῦς ὑπὸ οἴνου διαφθαρῇ, ταυτὰ πάσχει τοῖς ἅρμασι, τοῖς τοῦ ἡνιόχου ἀωοβάλλουσιν· ἐκεῖνά τε γὰρ ἀτάκτως φέρεται διωρτάνοντα τὸν ἐλαύνοντα, ἥτε ψυχὴ ωολλὰ σφάλλεται, διαφθαρείσης τῆς διανοίας. ἀθάνατα μὲν φρόνει τῷ μεγαλόψυχος εἶναι, θνητὰ δὲ τῷ συμμέτρως τοῖς ὑωαρχόντων ἀωολαύειν. ἡγοῦ τιμὴν ωαιδείαν τοσούτῳ μεῖζον ἀγαθὸν εἶναι τῆς ἀωαιδευσίας, ὅσῳ τὰ

μὲν

μὴ ἄλλα μοχθηρὰ πάντες κερδαίνοντες πράττουσι. αὐτὴ δὲ μόνη καὶ πρεσβεύσασα τοὺς ἔχοντας. πολλάκις γὰρ ὧν τοῖς λόγοις ἐλύπησαν, τούτῳ τοῖς ἔργοις τὴν τιμωρίαν ἔδοσαν. ὃς ἂν βούλῃ ποιήσασθαι φίλους, ἀγαθόν τι λέγε περὶ αὐτῶν πρὸς τοὺς ἀπαγγέλλοντας. ἀρχὴ μὲν γὰρ φιλίας ἔπαινος, ἔχθρας δὲ ψόγος. βουλόμενος, παραδείγματα ποιοῦ τὰ παρελθόντα τῶν μελλόντων. τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ τάχιστα ἔχει τὴν διάγνωσιν. βούλου μὲν βεβαίως, ὅπως τέλῃ ἢ ταχέως τὰ δόξαντα· ἡγοῦ κράτιστον εἶναι μὲν θεῶν εὐτυχίαν, μὲν δὲ ἡμῶν αὐτῶν εὐβουλίαν· περὶ ὧν ἂν αἰσχύνῃ παῤῥησιάσασθαι, βούλει δέ τισι τῶν φίλων ἀνακοινώσασθαι, χρῶ τοῖς λόγοις, ὡς περὶ ἀληθείας τοῦ πράγματος. οὕτω γὰρ τὴν ἐκείνων τε γνώμην εὑρήσῃ, καὶ σεαυτὸν ἐκ καταφανῆ ποιήσεις. ὅταν δὲ

ὑπὲρ τῆς σεαυτοῦ μέλλῃς τινὶ συμβουλεύειν, σκόπει πρῶτον, πῶς ὑπὲρ τούτου διώκησεν· ὁ γὰρ κακῶς διοικηθεὶς ὑπὲρ τῶν ἰδίων, ἐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων. ἔτω δ' ἂν μάλιστα βουλεύειν πάρεξωθείης, εἰ τὰς ξυμφορὰς τὰς ἐκ τῆς ἀβουλίας ὑπερβλέψειας· ἢ γὰρ τῆς ὑγιείας πλείστου ὑπομέλειαν ἔχομεν, ὅταν τὰς λύπας τὰς ἐκ τῆς ἀῤῥωστίας ἀναμνησθῶμεν. μιμοῦ τὰ τῶν βασιλέων ἤθη, καὶ διώκει τὰ ἐκείνων ὑπουργήματα· δόξεις γὰρ αὐτοῖς ἀποδέχεσθαι, καὶ ζυλεῖν, ὥστε σοι συμβήσεται πάντά τε τὰ πρὸς πλήθει μᾶλλον εὐδοκιμεῖν, καὶ τὴν παρ' ἐκείνων εὔνοιαν βεβαιοτέραν ἔχειν. πείθου μὲν καὶ τοῖς νόμοις τοῖς ὑπὸ τῶν βασιλέων κειμένοις. ἰσχυρότατον μέντοι νόμον ἡγοῦ τὸν ἐκείνων τρόπον. ὥσπερ γὰρ τὸν ἐν δημοκρατίᾳ πολιτεύόμενον, τὸ πλῆθος δεῖ θεραπεύειν, ἔτω καὶ τὸν ἐν μοναρχίᾳ καθι-

καθικνῆται, τ βασιλέα φεύγειν θαυμάζειν. εἰς ἀρχὴν καταστὰς μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις. ὧν γὰρ ἂν ἐκεῖνος ἁμάρτοι, σοὶ τὰς αἰτίας ἀναθήσουσιν. ἐκ τ κοινῶν ὑπηρεσιῶν ἀπαλλάττου, μὴ πλουσιώτερος, ἀλλ' ἐνδοξότερος. πολλῷ γὰρ χρημάτων κρείττων ὁ μετὰ τ πλήθους ἔπαινος. μηδενὶ πονηρῷ πράγματι μήτε παρίσασο, μήτε συνηγόρει. δόξεις γὰρ κἀκεῖνος τοιαῦτα πράττειν, οἷάπερ ἂν τοῖς ἄλλοις πράττουσι βοηθῇς. μὴ κατασκεύαζε σεαυτὸν πλεονεκτεῖν μᾶλλον δυνάμενον, ἀνέχου ἢ τὸ ἴσον ἔχειν· ἵνα δοκῇς ὀρέγεσθαι τ δικαιοσύνης, μὴ δι' ἀσθένειαν, ἀλλὰ δι' ἐπιείκειαν. μᾶλλον ἀποδέχου δικαίαν πενίαν, ἢ πλοῦτον ἄδικον. τοσούτῳ γὰρ κρεῖττον δικαιοσύνη χρημάτων, ὅσῳ τὰ μὲν ζῶντας μόνον ὠφελεῖ, ἡ δὲ καὶ τελευτήσασι δόξαν παρασκευάζει. καὶ ἐκείνων μὲν τοῖς φαύλοις

μέτεσι, ταύτης δὲ τοῖς μοχθηροῖς ἀδύνατον μεταλαβεῖν. μηδένα ζήλου τῶν ἐξ ἀδικίας κερδαινόντων, ἀλλὰ μᾶλλον ἀποδέχου τοὺς μὴ δικαιοσύνης ζημιωθέντας. οἱ γὰρ δίκαιοι τῶν ἀδίκων, εἰ μηδὲν ἄλλο πλεονεκτοῦσιν, ἀλλ' ὅν ἐλπίσι γε ἀγαθαῖαις ἐμφέχουσι. πάντων μὲν ὀπιμελοῦ τῶν περὶ τὸν βίον, μάλιστα δὲ τῶν σεαυτοῦ φρόνησιν ἄσκει. μέγιστον γὰρ ἐν ἐλαχίστῳ νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι. ὥσπερ τὸ μὲν σῶμα εἶναι φιλόπονον, τὸν δὲ ψυχὴν φιλόσοφος. ἵνα τῷ μὲν ὀπιτελεῖν δυνώμεθα τὰ δόξαντα, τῇ δὲ προορᾶν ὀπίσω τὰ συμφέροντα. πᾶν ὅ, τι ἂν μέλλῃς λέγειν, πρότερον ὀπισκόπει τῇ γνώμῃ. πολλοῖς γὰρ ἡ γλῶττα προέχει τῆς διανοίας. νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον. οὕτω γὰρ ὅτ' ἀτυχῶν ἔσῃ προθυμοτέρως, ὅτε δυσυχῶν προλύπου. δύο τοῖς καιροῖς τοῦ λέγειν, ἢ περὶ ὧν οἶδα σα-

σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν. ἐν τούτοις γὰρ μόνοις ὁ λόγος τῆς σιγῆς χρείττων, ἐν δὲ τοῖς ἄλλοις, ἄμεινον σιγᾶν, ἢ λέγειν. χαῖρε μὴν ὅτι τοῖς συμβαίνουσι τῶν ἀγαθῶν. καὶ λυποῦ μέτριως ὅτι τοῖς γιγνομένοις τῶν κακῶν. Γίνου δὲ τοῖς ἄλλοις, ἐν μηδετέροις ὢν κατάδηλος. ἄτοπον γὰρ τὸν μὲν ὑσίαν ἐν ταῖς οἰκίαις ἀποκρύπτειν, τὸν δὲ δάνοιαν φανερὰν ἔχοντα περιπατεῖν. μᾶλλον λαβοῦ φόβον, ἢ κίνδυνον. δεῖ γὰρ εἶναι φοβερὰν τοῖς μὲν φαύλοις τὸν τοῦ βίου τελευτὴν, τοῖς δὲ σπουδαίοις, τὸν ἐν τῇ ζωῇ ἀδοξίαν. μάλιστα μὲν πειρῶ ζῆν καὶ τὴν ἀσφάλειαν. ἐὰν δέποτέ σοι συμβῇ κινδυνεύειν, ζήτει τὸν ἐκ τοῦ πολέμου σωτηρίαν μετὰ καλῆς δόξης, ἀλλὰ μὴ μετ' αἰσχρᾶς φήμης. τὸ μὲν γὰρ τελευτῆσαι, πάντων ἡ πεπρωμένη κατέκρινε· τὸ δὲ καλῶς ἀποθανεῖν, ἴδιον τοῖς σπου-

δαίοις ἡ φύσις ἀπένειμε. Καὶ μὴ θαυμάσῃς, εἰ πολλὰ τ̃ εἰρημένων ὑ πρέπει σοι πρὸς τὴν νεῦ παρῦσαν ἡλικίαν. ὐδὲ γὸ ἐμὲ τ̃το διέλαθεν· ἀλλὰ προσλόμενος δ̀ὰ τῆς αὐτῆς πραγματείας ἅμα τ̃τε παρόντ@ βίῳ συμβουλίαν ἐξενεγκεῖν, καὶ τ̃ μέλλοντ@ χρόνῳ πρόσταγμα καταλιπεῖν· τὴν μὲν γὸ τ̃των χρείαν ῥᾳδίως εὑδήσῃς, τὸν δὲ συμβαλλόντα μετ' ὐνοίας χαλεπῶς εὑρήσεις. ὅπως ὖν τὰ λοιπὰ μὴ παρ' ἑτέρυ ζητῇς, ἀλλ' ἐντεῦθεν· ὥσπερ ἐκ ταμιείυ προφέρῃς, ὡήθην δ̃ῆν μηδὲν πρόσλιπεῖν, ὧν ἂν ἔχω σοι συμβαλλεῖν. πολλὴν δ' ἂν τοῖς θεοῖς χάριν ἔχοιμι, εἰ μὴ δ̀αμάρτοιμι τῆς δ̀όξης, ἣν ἔχων πρὸς σ̃ τυγχάνω· τ̃ν γὸ ἄλλων ὁτ̃ πλείστυς εὑρήσομεν, ὥσπερ τ̃ σιτίων τοῖς ἡδίστοις μᾶλλον, ἢ τοῖς ὑγιεινοτάτοις χαίροντας, ὅτω καὶ τ̃ φίλων τοῖς συνεξαμαρτάνυσι πλησιάζοντας, ἀλλ'

ἀλλ' ὁ τοῖς νουθετοῦσι· τὸ δὲ νομίζω τοὐναντίον τούτων ἐγνωκέναι, τεκμηρίῳ χρώμενος τῇ περὶ τὰ ἄλλα σου παιδείαν φιλοπονίᾳ. τὸν γὰρ αὐτῷ τὰ βέλτιστα περιττὴν ὑπιτάττοντα, τοῦτον εἰκὸς ἢ τῶν ἄλλων σοῦ ὑπὲρ τοῦ ἀρετὰ προκαλοῦντας ἀποδέχεσθαι. μάλιστα δ' ἂν παροξυνθείης ὀρεχθῆναι τῶν καλῶν ἔργων, εἰ καταμάθοις, ὅτι ἢ τὰς ἡδονὰς, τὰς ἐκ τούτων, μάλιστα γνησίως ἔχομεν. ἐν μὲν γὰρ τῷ ῥαθυμεῖν, καὶ τὰς πλησμονὰς ἀγαπᾶν, ἀθυς αἱ λύπαι. ταῖς ἡδοναῖς προσπεπήγασι. τὸ δὲ περὶ τὰ ἀρετὰ φιλοπονεῖν, καὶ σωφρόνως τὸν ἑαυτοῦ βίον οἰκονομεῖν, ἀεὶ τὰς τέρψεις εἰλικρινεστέρας ἀποδίδωσι, καὶ ἐκεῖ μὲν πρῶτον ἡδέντες, ὕστερον ἐλυπήθημεν· ἐνταῦθα δὲ μὴ τὰς λύπας τὰς ἡδονὰς ἔχομεν. ἐν ἅπασι δὲ τοῖς ἔργοις, οὐχ ὅτω τῆς ἀρχῆς μνημονεύομεν, ὡς

τῆς

τῆς τελευτῆς αἴσθησιν λαμβάνομεν. τὰ γὰρ πλεῖστα τῶν περὶ τὸν βίον, ἃ δι' αὐτὰ τὰ πράγματα ποιοῦμεν, ἀλλὰ τῶν ὑπαινόντων ἕνεκα διαπονοῦμεν. ἐνθυμοῦ δ', διότι τοῖς μὲν φαύλοις ἐνδέχεται τὰ τυχόντα πράττειν. δικαίως γὰρ τὸν βίον τοιούτῳ πεποίωνται τὴν ὑπόθεσιν· τοῖς δὲ σπουδαίοις οὐχ οἷόν τε τὴν ἀρετῆς ἀμελεῖν, ἢ πολλοὺς ἔχειν τοὺς ὑπολήπτονται. πάντες γὰρ μισοῦσι οὐχ ὅτω τοὺς διαμαρτάνοντας, ὡς τοὺς ὑπηκόους μὲν φάσκοντας εἶναι, μηδὲν δὲ τῶν τυχόντων διαφέροντας· εἰκότως· ὅταν γὰρ τοὺς τῷ λόγῳ μόνῳ φιλουμένους ἀποδοκιμάζωμεν, πῶς τοὺς τῷ βίῳ παντὶ ἐλαττωμένους φαύλους εἶναι φήσομεν; δικαίως δ' ἂν τοιούτους ὑπολάβοιμεν, μὴ μόνον εἰς ἑαυτοὺς ἁμαρτάνειν, ἀλλὰ καὶ τῆς τύχης εἶναι προδότας. ἡ μὲν γὰρ αὐτοῖς χρήματα, καὶ δόξαν, καὶ φίλους ἐνεχείρισεν, οἱ δὲ σφᾶς

σφᾶς αὐτοὺς ἀναξίους τῆς ὑπαρχούσης εὐδαιμονίας κατέστησαν. εἰ δ' ἦν δυνατὸν ὄντα, τὸν τῶν θεῶν στοχάσασθαι διανοίας, ἡγοῦμαι κἀκείνους ὅτι τοῖς οἰκειοτάτοις μάλιστα δηλοῦσι, πῶς ἔχουσι πρὸς τοὺς φαύλους, καὶ τοὺς σπουδαίους τῶν ἀνθρώπων. Ζεὺς γοῦν Ἡρακλέα καὶ Τάνταλον ἠμύησας, ὡς οἱ μῦθοι λέγουσι, καὶ πάντες πιστεύουσι, τὸν μὲν διὰ τὴν ἀρετὴν ἀθάνατον ἐποίησε, τὸν δὲ διὰ τὴν κακίαν, ταῖς μεγίσταις τιμωρίαις ἐκόλασεν· οἷς χρὴ καὶ σοὶ παραδείγμασι χρωμένους ὀρέγεσθαι τῆς καλοκἀγαθίας, καὶ μὴ μόνον τοῖς ὑφ' ἡμῶν εἰρημένοις ἐμμένειν, ἀλλὰ καὶ τῶν ποιητῶν τὰ βέλτιστα μανθάνειν, καὶ τῶν ἄλλων σοφιστῶν, εἴ τι χρήσιμον εἰρήκασιν, ἀναγινώσκειν. ὥσπερ γὰρ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνουσαν· οὕτω χρὴ καὶ σοὺ παν-

παιδείας ὀρεγομένους, μηδενὸς μὲν ἀπείρως ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν. μόλις γὰρ ἄν τις ἐκ ταύτης τῆς ἐπιμελείας τὰς τῆς φύσεως ἁμαρτίας ἐπικρατήσειεν.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΡΟΔΙΩΝ ΕΛΕΥΘΕΡΙΑΣ

ΛΟΓΟΣ.

Ι. Ἴμως δεῖν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τηλικούτων βουλευομένους διδόναι παρρησίαν ἑκάστῳ τῶν συμβουλευόντων. Ἐγὼ δὲ οὐδὲ ποτε ἡγησάμην χαλεπὸν διδάξαι τὰ βέλτιστα ὑμᾶς, ὡς γὰρ εἰπεῖν ἁπλῶς, ἅπαντες ἐγνωκότες ὑπάρχειν μοι δοκεῖτε· ἀλλὰ τὸ πεῖσαι ταῦτα. Ἐπειδὰν γάρ τι δόξῃ, καὶ ψηφισθῇ, τοσοῦτον τῶν πραχθέντων ἀπέχει, ὅσον πρὶν δόξαι. 2. Ἔστι μὲν οὖν ἓν, ὧν ἐγὼ νομίζω χάριν ὑμᾶς τοῖς θεοῖς ὀφείλειν, τὸ, τοὺς διὰ τὴν αὐτῶν ὕβριν ὑμῖν πολεμήσαντας οὐ πά-

παιδείας ὀρεγομένους, μηδενὸς μὲν ἀπείρως ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν. μόλις γὰρ ἄν τις ἐκ τούτης τῆς ἐπιμελείας τὰς τῆς φύσεως ἁμαρτίας ἐπανορθώσειεν.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΡΟΔΙΩΝ ΕΛΕΥΘΕΡΙΑΣ

ΛΟΓΟΣ.

I. Γ᾽μοιγ δεῖν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τηλικούτων βουλευομένους διδόναι παρρησίαν ἑκάστῳ τῶν συμβουλευόντων. Ἐγὼ δ᾽ ὐδ᾽ ἐὰν ὠόμοτε ἡγησάμην χαλεπὸν διδάξαι τὰ βέλτιστα ὑμᾶς, ὡς γὰρ εἰπεῖν ἁπλῶς, ἅπαντες ἐγνωκότες ὑπάρχειν μοι δοκεῖτε· ἀλλὰ τὸ πεῖσαι ταῦτα. Ἐπειδὰν γάρ τι δόξῃ, καὶ ψηφισθῇ, τοσοῦτον τῶν πραχθέντων ἀπέχει, ὅσον πρὶν δόξαι. 2. Ἔστι μὲν οὖν ἓν, ὧν ἐγὼ νομίζω χάριν ὑμᾶς τοῖς θεοῖς ὀφείλειν, τὸ, τὸν διὰ τὴν αὐτῶν ὕβριν ὑμῖν πολεμήσαντας ὑπ᾽ πά-

δ' πάλαι, νυῦ ἐν ὑμῖν μόνοις τῆς αὐτῆς σωτηρίας ἔχειν τὰς ἐλπίδας. Ἄξιον δὲ ἡθῆναι τῷ παρόντι καιρῷ. Συμβήσεται γὰρ ὑμῖν ἐὰν ἀρχὴ βουλεύσησθε ὑφ' αὐτῶν, τὰς φθορὰς ἃς διαβαλλόντων τὴν πόλιν ἡμῶν βλασφημίας, ἔργῳ μετὰ δόξης καλῆς ἀπολύσασθαι. 3. Ἡτιάσαντο μὲν γὰρ ἡμᾶς ὅτι βουλεύειν αὐτοῖς Χίοι, ἢ Βυζάντιοι, ἢ Ῥόδιοι, καὶ διὰ ταῦτα συνέσπασαν ἐφ' ἡμᾶς, τὸν τελευταῖον τουτονὶ πόλεμον. Φανήσεται δὲ, ὁ μὲν φρυτανεύσας ταῦτα, καὶ πείσας Μαύσωλος, φίλος εἶναι φάσκων Ῥοδίων, τὴν ἐλευθερίαν αὐτῶν ἀφῃρημένος· οἱ δ' ἀποδείξαντες αὐτὸς συμμάχους Χῖοι, καὶ Βυζάντιοι, τοῖς ἀτυχήμασιν αὐτῶν ὑ βεβοηθηκότες· ὑμεῖς δὲ, ὃς ἐφοβεῖτο, μόνοι τῶν πάντων τῆς σωτηρίας αὐτοῖς αἴτιοι γεγενημένοι. Ἐκ δὲ τῶ ταῦτα ὑπὸ πάντων ὀφθῆναι, ποιήσετε σὺν πολλῶ ἐν ἁπάσαις

ταῖς

ταῖς πόλεσι τοῦτο ποιεῖσθαι σύμβολον τῆς αὐτῶν σωτηρίας, ἐὰν ὑμῖν ὦσι φίλοι· ἓν μεῖζον ἂν ἐν ὑμῖν γένοιτο ἀγαθὸν, ἢ πάντων ἑκόντων ἀνυπόπτου τυχεῖν εὐνοίας. Θαυμάζω δ' ὅτι τοῦτ' αὐτὸς ὁρῶ, ὑπὲρ μὲν Αἰγυπτίων τἀναντία πράττειν βασιλεῖ τὴν πόλιν πείθοντας, ὑπὲρ δὲ τῶ Ῥοδίων δήμου φοβουμένους τὸν αὐτὸν ἄνδρα τοῦτον. Καίτοι τοῦτ' μὲν, ἕλλωας ὄντας ἅπαντες ἴσασι· τοῦτ' δ' ἐν τῇ ἀρχῇ τῇ ἐκείνου μεμερισμένους. Οἶμαι δὲ ὑμᾶς μνημονεύειν ἐκεῖνος, ὅτι πρίνα ἐβουλεύεσθε περὶ τῶν βασιλικῶν, παρελθὼν ἐγὼ πρῶτος παρήνεσα, οἶμαι δὲ κ) μόνος, ἢ δεύτερος εἰπεῖν, ὅτι μοι σωφρονεῖν ἂν δοκοῖτε, εἰ τὴν πρόφασιν τῆς παρασκευῆς, μὴ τὴν πρὸς ἐκεῖνον ἔχθραν ποιοῖσθε· ἀλλὰ παρασκευάζοισθε μὲν πρὸς τοῦτ' ὑπάρχοντας ἐχθρὸς, ἀμύνοισθε δὲ κἀκεῖνον, ἐὰν ὑμᾶς ἀδικεῖν ἐπιχειρῇ. Καὶ κ

ἐγω

ἐγὼ μὲν ταῦτα εἶπον, ὑμῖν δ' οὐκ ἐδόκουν ὀρθῶς λέγειν· ἀλλὰ κὴ ὑμῖν ἤρεσκε ταῦτα. Ἀκόλουθος τοίνυν λόγος ἐστί μοι τῷ τότε ῥηθέντι. 4. Ἐγὼ γὰρ εἰ βασιλεὺς παρ' αὐτὸν ὄντα μὲ σύμβουλον ποιοῖτο, ταῦτ' ἂν αὐτῷ παραινέσαιμι, ἅπερ ὑμῖν· ὑφ' μὲν τῷ ἑαυτῷ πολεμεῖν, ἐάν τις ἐναντιῶται τῷ Ἑλλήνων· ὧν δὲ μηδὲν αὐτῷ προσήκει, τούτων μηδ' ἀντιποιεῖσθαι τὴν ἀρχήν. 5. Εἰ μὲν οὖν ὅλως ἐγνώκατε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅσων ἂν βασιλεὺς ἐγκρατὴς γένηται, φθάσας, κὴ προκαταλαβόμενός τινας τῶν ἐν ταῖς πόλεσι, προχωρεῖν· ἢ καλῶς ἐγνώκατε, ὡς ἐγὼ κρίνω. Εἰ δ' ὑπέρ γε τῶν δικαίων, κὴ πολεμεῖν ἂν τούτου δέῃ, καὶ πάσχειν ὁτιοῦν ἂν οἴεσθε χρῆναι· πρῶτον μὲν ὑμῖν ἧττον δεήσει τούτου, ὥσῳ μᾶλλον ἂν ἐγνωκότες ἦτε ταῦτα· ἔπειθ' ἃ προσήκει, φρονεῖν δόξετε. Ὅτι δ' οὐδὲν καινὸν

καινὸν ἔτ' ἐγὼ λέγω νυῦ, κελεύων Ῥοδίους ἐλευθερεῖν, ἔΰ' ὑμεῖς ἂν πειθῆτέ μοι, ποιήσετε, τῷ γεγενημένων ὑμᾶς τι, καὶ τῶν συνενεωχότων ὑπομνήσω. Ὑμεῖς ἐξεπέμψατε Τιμόθεόν ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, βοηθήσοντα Ἀριοβαρζάνῃ, προσγράψαντες τῷ ψηφίσματι, μὴ λύοντα τὰς σπονδὰς τὰς πρὸς βασιλέα. Ἰδὼν δ' ἐκεῖνος τὸν μὲν Ἀριοβαρζάνεω φανερῶς ἀφεστῶτα τοῦ βασιλέως, Σάμον δὲ φρουρυμένεω ὑπὸ Κυπροθέμιδος, ὃν κατέστησε Τιγράνης ὁ βασιλέως ὕπαρχος, τῷ μὲν ἀπέγνω μὴ βοηθεῖν, τὴν δὲ προσκαθεζόμενος, καὶ βοηθήσας ἠλευθέρωσε. Καὶ μέχρι τῆς τήμερον ἡμέρας οὐ γέγονε πόλεμος διὰ ταῦθ' ὑμῖν. Οὐ γὰρ ὁμοίως οἶδεις ὑπέρ τε τοῦ πλεονεκτεῖν πολεμήσειεν ἄν, καὶ ὑπὲρ τῶν ἑαυτοῦ. Ἀλλ' ὑπὲρ μὲν ὧν ἐλαττοῦνται, μέχρι τοῦ δυνατοῦ πάντες πολεμοῦσιν· ὑπὲρ δὲ

τοῦ

τῦ πλεονεκτεῖν, ὐχ ὕτως. Ἀλλ' ἐφιέναι μὲν, ἐάν τις ἐᾷ· ἐὰν δὲ κωλυθῶσιν, ὐδὲν ἠδικηκέναι δοὺς ἐναντιωθέντας αὐτοῖς ἡγεῖνται. 6. Ὅτι δὲ ὐδ' ἂν ἐναντιωθῆναί μοι δοκεῖ τῇ πραξει ταύτῃ νεὼ Ἀρτεμισία, τῆς πόλεως ὔσης ἐπὶ τῦ πραγμάτων, μικρὰ ἀκὐσαντες σκοπεῖτε, εἴτε ὀρθῶς ἐγὼ λογίζομαι ταῦτα, εἴτε καὶ μή. Ἐγὼ νομίζω, πραττοντος μὲν ἐν Αἰγύπτῳ πάντα, ὅσ' ὥρμηκε, βασιλέως, σφόδρα ἂν Ἀρτεμεσίαν πειραθῆναι πρειποιῆσαι Ῥόδον αὐτῷ, ὐ τῇ βασιλέως εὐνοίᾳ, ἀλλὰ τῷ βέλεσθαι, πλησίον αὐτῆς διατρίβοντος ἐκείνυ, μεγάλῳ εὐεργεσίαν καταθέσθαι πρὸς αὐτὸν, ἵν' ὡς οἰκειότατ' αὐτὴν ὑποδέχοιτο. Πράττοντος δὲ ὡς λέγεται, καὶ διαφερτικότος, οἷς ἐπεχείρησεν, ἡγεῖσθαι τὴν νῆσον ταύτῃ, ὅπερ ὄντ, ἄλλο μὲν ὐδὲν εἶναι βασιλεῖ χρήσιμον ἐν τῷ παρόντι,

τῆς

τῆς δ' αὐτῆς ἀρχῆς ὑπτείχισμα πρὸς τὸ μηδ' οτιοῦν πολεμεῖν. Ὥσε μοι δοκεῖ, μᾶλλον ἂν ὑμᾶς ἔχειν μὴ φαιερῶς αὐτῆς ἐνδύσης, ἢ ἐκεῖνον λαβεῖν βέλεσθαι. Οἶμαι μὲν οὖν οὐδὲ βοηθήσειν αὐτὴν· ἂν δ' ἄρα τοῦτο ποιῇ, φαύλως, καὶ κακῶς. Ἐπεὶ καὶ βασιλέα ὅ, τι μέν ποτε ποιήσει, μὰ Δί' οὐκ ἂν εἴποιμι ἔγωγε, ὡς οἶδα· ὅτι μέν τοι σύμφορα τῇ πόλει δῆλον ἤδη γενέσθαι, πότερα ἀντιποιήσεται τῆς πόλεως τῆς Ῥοδίων, ἢ οὔ, ταῦτα ἂν ἰσχυρισαίμην. Οὐ γὰρ ὑπὲρ Ῥοδίων βουλευτέον, ἂν ἀντιποιῆται, μόνον, ἀλλ' ὑπὲρ ὑμῶν αὐτῶν, καὶ πάντων τῶν ἑλλήνων. 7. Οὐ μὴν, οὐδ' ἂν εἰ δι' αὐτῶν εἶχον τὴν πόλιν οἱ νεῶν ὄντες ἐν αὐτῇ Ῥόδιοι, παρήνεσα ἂν ὑμῖν τούτους ἑλέσθαι, οὐδ' εἰ πάντα ὑπισχνοῦντο ὑμῖν ποιήσειν. Ὁρῶ γὰρ αὐτοὺς τὸ μὲν πρῶτον, ὅπως καταλύσωσι τὸν δῆμον, προσλαβόντας

τας

τας τινὰς τῶν πολιτῶν· ἐπειδὴ δὲ τοῦτ' ἔπραξαν, πάλιν ἐκβαλόντας τούτους. Τοὺς ἐν μηδετέροις πιστῶς κεχρημένους, οὐδ' ἂν ὑμῖν βεβαίους ἡγοῦμαι γενέσθαι συμμάχους. Καὶ ταῦτα, οὐδέ ποτ' εἶπον ἄν, εἰ τῷ Ῥοδίων δήμῳ μόνον ἡγοῦμαι συμφέρειν· 8. ἔτε γὰρ πρόξενος τῶν ἀνδρῶν, ἔτε ἰδίᾳ ξένος αὐτῶν οὐδείς ἐστί μοι. Οὐ μὴν, οὐδ' εἰ ταῦτα ἀμφότερα ἦν, εἰμὴ συμφέρειν ὑμῖν ἡγοῦμαι, εἶπον ἄν. Ἐπεὶ Ῥοδίοις γε, εἰ οἷόντε τοῦτ' εἰπεῖν τῷ συναγορεύοντι τῇ σωτηρίᾳ αὐτῶν, συγχαίρω τοῖς γεγενημένοις, ὅτι τὸ νομίσασθαι τὰ ὑμέτερ' ὑμῖν φθονήσαντες τὴν αὐτῶν ἐλευθερίαν ἀπολωλέκασι. Καὶ πρὸν αὐτοῖς, ἕλλησι, καὶ βελτίοσιν ὑμῖν αὐτῶν ἐξίσου συμμαχεῖν, βαρβάροις, καὶ δούλοις, οὓς εἰς τὰς ἀκροπόλεις παρεῖνται, δουλεύσειν. Ὀλίγου δὲ δέω λέγειν, ἂν ὑμεῖς αὐτοῖς ἐθελήσητε βοηθῆσαι, ὡς καὶ

καὶ συνενήνοχε ταῦτ' αὐτοῖς. Εὖ μὲν γὰρ πράττοντες, ἐκ οἷσθ' εἴ ποτ' εὖ φρονῆσαι ἠθέλησαν, ὄντες Ῥόδιοι· ἔργῳ δὲ πειραθέντες, καὶ διδαχθέντες, ὅτι πολλῶν κακῶν ἡ ἄνοια πολλοῖς αἰτία γίγνεται, τάχα ἂν, εἰ τύχοιεν, σωφρονέστερόν πως πρὸς τὸ λοιπὸν τοῦ χρόνου γένοιντο. Τοῦτο δὲ, ὠφέλημα ἡγοῦμαι. 9. Φημὶ δὴ χρῆναι πειρᾶσθαι σώζειν τοὺς ἄνδρας, καὶ μὴ μνησικακεῖν, ἐνθυμουμένους, ὅτι πολλὰ καὶ ὑμεῖς ὑπὸ τῶν ἐπιβουλευσάντων ἐξηπατήθητε, ὧν οὐδενὸς αὐτοὶ δίκαιοι δοῦναι δίκαιον ἂν εἶναι φήσαιτε. Ὁρᾶτε δὲ κἀκεῖνο, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι πολλὰς ὑμεῖς πεπολεμήκατε πολέμους, καὶ πρὸς Δημοκρατίας, καὶ πρὸς Ὀλιγαρχίας. Καὶ τοῦτο ἴσμεν μὲν καὶ αὐτοί. Ἀλλ' ὑπὲρ ὧν πρὸς ἑκατέρους ἐθ' ὑμῖν ὁ πόλεμος, τοῦτ' ἴσως ὑμῶν οὐδεὶς λογίζεται. Ὑπὲρ τίνων ἔν ἔστι; πρὸς

μὲν οὖν δήμους, ἢ περὶ τῶν ἰδίων ἐγκλημάτων, ἢ δωνηθέντων δημοσίᾳ δικαλύσασθαι ταῦτα, ἢ περὶ γῆς μέρους, ἢ ὅρων, ἢ φιλοτιμίας, ἢ τῆς ἡγεμονίας. Πρὸς δὲ τὰς Ὀλιγαρχίας, ὑπὲρ μὲν τούτων, οὐδενός· ὑπὲρ δὲ τῆς πολιτείας, καὶ τῆς ἐλευθερίας· ὥστε ἔγωγε, οὐκ ἂν ὀκνήσαιμι εἰπεῖν, μᾶλλον ἡγεῖσθαι συμφέρειν δημοκρατουμένους οὐχ Ἕλληνας ἅπαντας πολεμεῖν ἡμῖν, ἢ ὀλιγαρχουμένους φίλους εἶναι. Πρὸς μὲν γὰρ ἐλευθέρους ὄντας, οὐ χαλεπῶς ἂν ὑμᾶς εἰρήνην ποιήσασθαι νομίζω, ὁπότε βουληθείητε· πρὸς δὲ τοὺς ὀλιγαρχουμένους οὐδὲ τὴν φιλίαν ἀσφαλῆ νομίζω. Οὐ γάρ ἐστ' ὅπως ὀλίγοι πολλοῖς, καὶ ζητοῦντες ἄρχειν τοῖς μετ' ἰσηγορίας ζῆν ἠρημένοις, εὖνοι γένοιντ' ἄν. Θαυμάζω δὲ εἰ μηδεὶς ὑμῶν ἡγεῖται, Χίων ὀλιγαρχουμένων, καὶ Μιτυληναίων, καὶ νυνὶ Ῥοδίων, καὶ πάντων ἀνθρώπων ὀλίγους

ὀλίγω δ'έω λέγειν, εἰς ταύτῳ τὴν δ'ικλείαν ὑπαγομένων, συγκινδυνεύειν τι τὴν παφ' ὑμῖν πολιτείαν· μηδ'ὲ λογίζεται τῦθ', ὅτι ὐκ ἔστιν ὅπως, εἰ δ'ὶ 'Ολιγαρχίας ἅπανΓα συσήσεται, τὸν παφ' ὑμῖν δ'ῆμον ἐάσουσιν. Ἴσασι γὰφ ὐδ'ένας ἄλλους πάλιν εἰς ἐλευθεφίαν τὰ φράγματ' ἂν ἐπανάξοντας. Ὅθεν δ'ὴ κακὸν αὐΓοῖς ἄν τι γενέσθαι φοσδοκῶσι, τύτες ἀνελεῖν βυλήσονται. Τὺς μὲν ὖν ἄλλυς τῦ' ἀδικεῦντάς τινας αὐτῶν τῷ κακῶς πεπονθότων ἐχθφὺς ἡγεῖσθαι χφή· τῦ' δ'ὲ τὰς πολιτείας καταλύοντας, ὴ μεθισάντας εἰς ὀλιγαρχίαν κοινὺς ἐχθφὺς παραινῶ νομίζειν πάντων τῷ ἐλευθερίας ὀπθυμύντων. Ἔπειτα καὶ δ'ίκαιον, ὦ ἄνδφες 'Αθηναῖοι, δ'ημοκεκατυμένυς αὐτὺς Γοιαῦτα φφονῦντας φαίνεσθαι φὸς τῷ ἀτυχύντων δ'ήμων, οἷα τῦ' ἄλλυς ἀξιώσετε φφονεῖν φὸς ὑμῷ, εἴποτε, ὃ μὴ γένοιτο,

τοιοῦτό τι συμβαίη. Καὶ γὰρ, εἰ δίκαιά τις ἂν φήσειε Ῥοδίους πεπονθέναι, οὐκ ὀπτήδειος ὁ καιρὸς ἐφηθεῖναι. Δεῖ γὰρ οὐ τοὺς εὐτυχοῦντας ἀεὶ τοῖς ἀτυχοῦσιν ἀλλὰ φαίνεσθαι βουλευομένους τὰ βέλτιστα· ἐπειδήπερ ἄδηλον τὸ μέλλον ἅπασιν ἀνθρώποις. Ἀκούω δ' ἔγωγε πολλάκις ἐνταυθοῖ παρ' ὑμῖν τινων λεγόντων, ὡς ὅτε ἠτύχησεν ἡ πόλις ἡμῶν, συνεβουλεύθησάν τινες αὐτὴν σωθῆναι· ὧν ἐγὼ, μόνον Ἀργείων ἐν τῷ παρόντι μνησθήσομαι βραχύ τι. Εἰ γὰρ ἂν ἡμᾶς βουλόμην δόξαν ἔχοντας τοῦ σώζειν οὐκ ἀτυχήσαντας ἀεὶ, χείρους Ἀργείων ἐν ταύτῃ τῇ πράξει φανεῖναι· οἱ χώραν ὅμορον τῇ Λακεδαιμονίων οἰκοῦντες, ὁρῶντες ἐκείνους γῆς, καὶ θαλάττης ἄρχοντας, οὐκ ἀπώκνησαν, οὐδ' ἐφοβήθησαν εὐνοϊκῶς ὑμῖν ἔχοντες φανῆναι· ἀλλὰ καὶ πρέσβεις ἐλθόντας ἐκ Λακεδαίμονος, ὥς φασιν, ἐξαιτήσοντάς

τὰς

τάς τινας τῶν φυγάδων τῶν ὑμετέρων ἐψηφίσαντο, ἐὰν μὴ πρὸ ἡλίου δύνοντος ἀπαλλάττωνται, πολεμίους κρίνειν. Εἶτα ἐκ αἰσχρὸν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τὸ μὲν Ἀργείων πλῆθος οὐκ ἐφοβήθη τὴν Λακεδαιμονίων ἀρχὴν ἐν ἐκείνοις τοῖς καιροῖς, οὐδὲ τὴν ῥώμην· ὑμεῖς δὲ ὄντες Ἀθηναῖοι βάρβαρον ἄνθρωπον, καὶ ταῦτα γυναῖκα φοβηθήσεσθε; κἀμὴν, οἱ μὲν, ἔχοιεν ἂν εἰπεῖν, ὅτι πολλάκις ἥττηνται ὑπὸ Λακεδαιμονίων· ὑμεῖς δὲ νενικήκατε μὲν πολλάκις βασιλέα, ἥττησθε δὲ οὐδὲ ἅπαξ, οὔτε τῶν δούλων τοῦ βασιλέως, οὔτε αὐτοῦ ἐκείνου. Εἰ γάρ τοι που καὶ κεκράτηκε τῆς πόλεως βασιλεὺς, ἢ σὺν πονηροτάτοις τῶν ἑλλήνων, καὶ πονηρότας αὐτῶν χρήμασι πείσας, ἢ δόλῳ ἄλλως κεκράτηκε· καὶ οὐδὲ τοῦτο αὐτῷ συνενήνοχεν. Ἀλλὰ μὴν εὑρήσετε αὐτὸν, τήν τε πόλιν τῶν Λακεδαιμονίων ἀσθενῆ

ποιήσαντα, καὶ περὶ τῆς αὐτοῦ βασιλείας κινδυνεύσαντα πρὸς Κλέαρχον, καὶ Κῦρον. Οὔτ' ἔν σε τῷ φανερῷ κεκράτηκεν, οὔτ' ὀπιβουλεῦσαι σιωπήσοιεν αὐτόν. Ὁρῶ δ' ὑμᾶς ἐνίους Φιλίππου μὲν, ὡς ἅπερ ὑβρεως ἀξίως πολλάκις ὀλιγωροῦντας, Βασιλέα δὲ ὡς ἰσχυρὸν ἐχθρὸν, οἷς ἂν προέληται πολεμεῖν, φοβουμένους. Εἰ δὲ τὸν μὲν, ὡς φαῦλον οὐκ ἀμυνούμεθα, τὸν δ' ὡς φοβερὸν πάντ' ὑπείξομεν, πρὸς τίνας, ὦ ἄνδρες Ἀθηναῖοι, παρατάξόμεθα; Εἰσὶ δέ τινες οἱ παρ' ἡμῖν δεινότατοι τὰ δίκαια λέγειν ὑπὲρ τῶν ἄλλων πρὸς ὑμᾶς. Οἷς παραινέσαιμ' ἂν ἔγωγε τοσοῦτον μόνον ὑπὲρ ὑμῶν πρὸς τοὺς ἄλλους ζητεῖν τὰ δίκαια λέγειν, ἵν' αὐτοὶ τὰ προσήκοντα πρῶτοι φαίνωνται ποιοῦντες. Ὡς ἔστιν ἄτοπον περὶ τῶν δικαίων ὑμᾶς διδάσκειν, αὐτὸν δ' ἄδικα ποιοῦντα. Οὐ γάρ ὅτι δίκαιον ὄντα πολίτην τὸν καθ' ὑμῶν

ὑμῖν λόγους, ἀλλὰ μὴ τοὺς ὑπὲρ ὑμῶν ἐσκέφθαι. Φέρε γὰρ πρὸς Θεῶν σκοπεῖτε, τί δήποτε ἐν Βυζαντίῳ ἐδείς ἐθ' ὁ διδάσκων ἐκεῖνος μὴ καταλαμβάνειν χαλκηδόνα, ἣ βασιλέως μέν ἐστιν, εἴχετε δ' ὑμεῖς αὐτὴν, ἐκείνοις δ' ἐδαμόθεν προσήκει; μηδὲ Συλημβείαν πόλιν ὑμετέραν ποτὲ σύμμαχον οὖσαν, ὡς αὐτὸς σωτελῆ ποιεῖν; ἢ Βυζαντίους ὁρίζειν τὴν τούτων χώραν ἀλλὰ τοὺς ὅρους, καὶ τὰς συνθήκας, ἐν αἷς αὐτονόμους εἶναι γέγραπται; ἐδὲ Μαυσώλου ζῶντος, ἐδὲ τελευτήσαντος ἐκείνου, τὴν Ἀρτεμισίαν ἐδείς ἐθ' ὁ διδάξων, μὴ καταλαμβάνειν Κῶν, καὶ Ῥόδον, καὶ ἄλλας πόλεις ἑτέρας ἑλληνίδας, ὧν καὶ βασιλεὺς ὁ ἐκείνων δεσπότης ἐν ταῖς συνθήκαις ἀπέστη τοῖς ἕλλησι, καὶ ἀφ' ὧν πολλοὺς κινδύνους, καὶ καλοὺς ἀγῶνας οἱ κατ' ἐκείνους τοὺς χρόνους ἕλληνες ἐποίησαντο; εἰδ' ἄρα

καὶ λέγει τις ἀμφοτέροις αὐτοῖς, ἀλλ' οἵγε πεισόμενοι τούτοις, ὡς ἔοικεν, ἐκ εἰσίν. ἐγὼ δὲ δίκαιον μὲν εἶναι νομίζω κατάγειν τὸν Ῥοδίων δῆμον· ἀ μὴν, ἀλλὰ καὶ εἰ μὴ δίκαιον ἦν, ὅταν εἰς ἃ ποιοῦσιν ὅτοι, βλέψω, προσήκειν οἶμαι παραινέσαι κατάγειν. Διατί; ὅτι πάντων μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ δίκαια ποιεῖν ὡρμηκότων, αἰσχρὸν ὑμᾶς μόνους μὴ ἐθέλειν. Ἁπάντων δὲ τὴν ἄλλων ὅπως ἀδικεῖν δυνήσονται, παρασκευαζομένων μόνους ἡμᾶς, τὰ δίκαια προτείνεσθαι, μηδενὸς ἀντιλαμβανομένους, ἀ δικαιοσύνλω, ἀλλ' ἀνανδρίαν ἡγοῦμαι. Ὁρῶ γὰρ ἅπαντας πρὸς τὴν παροῦσαν δύναμιν, καὶ τὴν δικαίων ἀξιωμένους· καὶ παράδειγμα τοῦτο λέγειν ἔχω πᾶσιν ὑμῖν γνώριμον. Εἰσὶ συνθῆκαι δίπαι τοῖς ἕλλησι πρὸς βασιλέα, ἃς ἐποιήσατο ἡ πόλις ἡ ἡμετέρα. Ἃς ἅπαντες ἐγκωμιάζουσι·

καὶ

καὶ μετὰ τοῦτο ὕστερον Λακεδαιμόνιοι, ταύτας ὧν δὴ κατηγορῆσι. Κἂν ταύταις ἐχὶ ταυτὰ δίκαια ἀμφοτέροις ὥρισται. Τῶν μὲν γὰρ ἰδίων δικαίων τῷ ἐν ταῖς πολιτείαις οἱ νόμοι κοινὴν τὴν μετουσίαν ἔδοσαν, καὶ ἴσην, καὶ τοῖς ἀσθενέσι, καὶ τοῖς ἰσχυροῖς. Τῶν δ' ἑλληνικῶν δικαίων οἱ κρατοῦντες ὁρισταὶ τοῖς ἥττοσι γίνονται. Ἐπειδὴ τοίνυν ὑμῖν ἐγνωκέναι τὰ δίκαια, καὶ ποιεῖν ὑπάρχει, ὅπως μὴ πρᾶξαι ταῦτα ἐφ' ὑμῖν ἔσται, δεῖ σκοπεῖν. Ἔσται δ' ταῦτα, ἐὰν ὑπολειφθῆτε κοινοὶ προστάται τῆς πάντων ἐλευθερίας εἶναι. Εἰκότως δέ μοι δοκεῖ χαλεπώτατον ὑμῖν εἶναι πρᾶξαι τὰ δέοντα. Τοῖς μὲν γὰρ ἄλλοις ἅπασιν ἀνθρώποις εἷς ἀγών ἐστιν, ὁ πρὸς τὸν προδήλως ἐχθρὸν, ὧν ἐὰν κρατήσωσιν, ἅδην ἐμπολῶν αὐτοῖς κυρίοις τῶν ἀγαθῶν εἶναι. Ὑμῖν δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, δύο· ἔστός τε ὁ

καὶ τοῖς ἄλλοις· καὶ προσεδ' ἕτερος τούτου πρότερος, καὶ μείζων. Δεῖ γὰρ ὑμᾶς βουλευομένους κρατῆσαι τῶν τἀναντία τῇ πόλει παρ' ὑμῖν πράττειν προῃρημένων. Ὅταν δὲν μηδὲν ᾖ δικαίως τούτοις ἀκόντι τῶν δεόντων γνέσθαι, πολλῶν δικαιοτάτην ὑμᾶς εἰκότως συμβαίνει. Τῷ μέν τοι πολλὰς ἀδεῶς ταύτην τὴν τάξιν αἱρεῖσθαι τῆς πολιτείας, ἴσως μὲν αἱ πρὸς τῶν μισθοδοτῶν αὐτοῖς ὠφέλειαι μάλιστ' αἴτιαι· ἐμοὶ δὲ ἀλλὰ καὶ ὑμᾶς ἄν τις ἔχοι δικαίως αἰτιᾶσθαι. Ἐγὼ γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν αὐτὴν ἔχειν διάνοιαν ὑμᾶς περὶ τῆς ἐν τῇ πολιτείᾳ τάξεως, ἥνπερ περὶ τῆς ἐν στρατείᾳ τάξεως ἔχετε. Τίς δ' ἐστὶν αὕτη; ὑμεῖς τὸν λείποντα τὴν ὑπὸ τῷ στρατηγῷ τάξιν ταχθεῖσαν ἄτιμον οἴεσθε, προδότην εἶναι, καὶ μηδενὸς τῶν κοινῶν μετέχειν. Χρὴ τοίνυν, καὶ σοῦ τινὸς ὑπὸ τῶν προγόνων τάξιν ἐν τῇ πολιτείᾳ πρά-

πολεμουμένῳ λιπόντας, καὶ πολιτευομένους ὀλιγαρχικῶς ἀτίμους τοῦ συμβουλεύειν ὑμῖν αὐτοῖς ποιεῖσθαι. Νῦν δὲ τοὺς μὲν συμμάχων τοὺς αὐτοὺς ἐχθροὺς, καὶ φίλους ἕξειν ὑμῖν ὁμωμοκότας, νομίζετε εὐνουστάτους· τοὺς δὲ πολιτευομένων ὃς ἴσε, σαφῶς οὗτος τῆς πόλεως ἐχθροὺς ἡρημένους, τούτους πιστοτάτους ἡγεῖσθε. Ἀλλὰ γὰρ ἐχ ὅ, τι τὶς κατηγορήσειε τούτων, ἢ τοῖς ἄλλοις ὑμῖν ὄφελήσειε, χαλεπὸν εὑρεῖν· ἀλλ' ἀφ' ὁποίων λόγων, ἢ ποίας πράξεως ἐπανορθώσεταί τις ἃ νεῦ ἐκ ὀρθῶς ἔχει, τοῦτ' ἔργον εὑρεῖν. Ἴσως μὲν ἂν, ἐδὲ τοῦ παρόντος καιροῦ περὶ πάντων λέγειν· ἀλλ' ἐὰν ἃ προήρησθε, δύνησθε ὄφελοῦσαι συμφερούσῃ τινὶ πράξει, καὶ τἆλλ' ἂν ἴσως καθ' ἓν ἂν βέλτιον χοίη. Ἐγὼ μὲν ἂν οἶμαι δεῖν ὑμᾶς ἀντιλαμβάνεσθαι τούτων τῶν πραγμάτων ἐῤῥωμένως, καὶ πράττειν ἄξια τῆς

πόλεως · ἐνθυμουμένους, ὅτι χαίρετε ἀκούοντες, ὅταν τις ἐπαινῇ τοὺς προγόνους ὑμῶν, καὶ τὰ πεπραγμένα ἐκείνοις διεξίῃ, καὶ τὰ τρόπαια λέγῃ. Νομίζετε τοίνυν ταῦτα ἀναθῆναι τοὺς προγόνους ὑμῶν, οὐχ ἵνα θαυμάζητε ταῦτα θεωροῦντες μόνον, ἀλλ' ἵνα καὶ μιμῆσθε τὰς τῶν ἀναθέντων ἀρετάς.

ΕΙΣ ΤΟΝ ΔΗΜΟΣΘΕΝΟΥΣ

Ὑπὲρ τ῀ τ῀ Ῥοδίων Ἐλευθερίας Λόγον

ΣΧΟΛΙΑ.

Υνεμάχων Ἀθηναίοις ποτὲ οἱ νησιῶται, καὶ οἱ τὴν Θρᾴκαλίαν οἰκοῦντες ἄχρι τ῀ Βυζαντίου· ἀλλ' ἀποστάντες ἐπολέμησαν Ἀθηναίοις, καὶ μηκυνομένου τοῦ πολέμου ἠναγκάσθησαν εἰς συνθήκας ἐλθεῖν πρὸς αὐτοὺς οἱ Ἀθηναῖοι, ὥστε αὐτονόμους εἶναι καὶ ἐλευθέρους. Μετὰ ταῦτα βασιλέως γνώμῃ βοηθούσης Ἀρτεμισίας τοῖς κατὰ τὴν Ῥόδον εὐπορίοις, ὑπετίθεντο τῷ δήμῳ οἱ δυνατοί· κατέφυγεν οὖν ὁ δῆμος ἐπὶ τὴν τῶν Ἀθηναίων πόλιν, ἀξιῶν ὑπὲρ ἐλευθερίας.

θερίας. Δημοσθένης φησὶν βοηθεῖν τῷ δήμῳ Ῥοδίων· εἰ δέ τις ἄλλος Ἀθηναίους ἐλύπησεν ἐν τῷ συμμαχικῷ πολέμῳ, καὶ τὴν ἀπόστασιν εἰργάσατο, μᾶλλον στέφηνεν ὁ τῶν Ῥοδίων δῆμος· διόπερ πρὸς αὐτὸν ἔοικε χαλεπαίνειν ἐξαιρέτως ἡ πόλις. Χαλεπὸς ἦν ὁ Λόγος τῷ συμβούλῳ λέγοντι ὑπὲρ ἀνδρῶν ἀφεστηκότων, καὶ λελυπηκότων πολλὰ τὴν πόλιν· καὶ ἐ τοῦτο μόνον λυπεῖ τὸν δημηγόρον, ἀλλὰ καὶ ὁ τοῦ βασιλέως φόβος· μικρὸν γὰρ ἀπ' ἀκινδύνων εἰς τὸ στασιάσειν βασιλεῖ, ῥᾴδιον καταληφθῆναι τὴν νῆσον διὰ τῶν εὐπόρων· πρὸς ἑκάτερον ἂν τούτων ἀντέθεικεν ἰσχυρότατα δύο· πρὸς μὲν τὴν τῶν Ῥοδίων ἀπιστίαν, τὴν μεγαλοφροσύνῃ τῆς πόλεως, καὶ τὸ σύνηθες εἶναι βοηθεῖν τοῖς ἀδικουμένοις τῶν ἑλλήνων· διότι πάντες εἰς αὐτοὺς ἀποβλέψουσιν, εἰ τοῦτο ποιήσειαν.

Πρὸς

Πρὸς δὲ τὸν φόβον τοῦ βασιλέως φόβον, τὸ δίκαιον, καὶ τὸ δυνατὸν ἀντέθηκε, καὶ τρίτον τὸ συμφέρον· δύνατον μὲν, ὅτι κακῶς πεφύτευντος βασιλέως περὶ τὴν Αἴγυπτον, καὶ ἡττωμένου, ὅτε Ἀρτεμισία βοηθήσει τοῖς ὀλιγαρχικοῖς Ῥοδίων, ὅτε αὐτὸς ὁ βασιλεύς. Δίκαιον δὲ, ὅτι οὐκ ἂν μεταποιήσαιτο βασιλεὺς τῶν μὴ προσηκόντων αὐτῷ· Ἕλληνές τε γάρ εἰσι Ῥόδιοι, καὶ οὐ μεμεσισμένοι εἰς τὴν βασιλέως ἀρχήν. Τὸ συμφέρον δὲ ὅτι οὐδὲ πολεμεῖν δέοι, κἂν μεταποιῆται βασιλεὺς τῶν Ῥοδίων· σύμβολον γάρ ἐστι τὸ γιγνόμενον τοῦ μὴ μόνον Ῥοδίων ὑπεθυμεῖν ἐκεῖνον, ἀλλὰ καὶ πάντων τῶν Ἑλλήνων.

1. Οἶμαι δεῖν ὑμᾶς ὦ ἄνδρες Ἀθηναῖοι) Τὴν εὐλάβειαν ἣν ἔχει πρὸς τὴν ὑπόθεσιν διὰ τῆς ὑποβολῆς ἐνδείκνυται· οὐ γὰρ ἔχει παῤῥησίαν εἰπεῖν ὑπὲρ ἀνδρῶν δοκούντων πολλὰ καὶ μεγάλα

γάλα τὸν δῆμον ἠδικηκέναι· διὰ δὲ τῆς ἐξῆς ἐννοίας τῇ αὐτῇ προοιμίᾳ προκαταλαμβάνει τὸν ἀκροατὴν, καὶ βέλτιω λαβεῖν ὁμολογοῦντα, ὅτι ποιήσει τὰ συμβουλευόμενα, ὡς αὐτὸ διοικεῖσθαι δεῖ τῶν δυοῖν ἐννοιῶν· τό, τε ἀναχέσθαι λέγοντες· καὶ τὸ πειθῆναι τοῖς λεγομένοις ἅμα καὶ πρᾶξαι.

2. Ἔστι μὲν οὖν ἓν, ὧν ἐγὼ νομίζω) Ἡ ὑποβολὴ τῇ δευτέρᾳ προοιμίᾳ· ἵνα δὲ μὴ δοκῇ χάριτι λέγειν ὑπὲρ Ῥοδίων κατηγόρησεν αὐτῶν, καὶ παρέδραμε, οὐχ ὡς παροξύνων, ἀλλ' εἰς εὔνοιαν τὸν ἀκροατὴν κινῆσαι βουλόμενος· ἔχει δὲ τὸ δεύτερον προοίμιον παρασκευὴν τῇ κεφαλαίᾳ. Τὴν μὲν δύναμιν ὑποσημαίνεται τοῖς μελλόντων ῥηθήσεσθαι· τὴν δόξαν καὶ τὴν εὔνοιαν, ἣν ἔξουσιν διὰ τῆς προαιρέσεως ταύτης ἀπολογησάμενοι πρὸς σοῦ διαβαλεῖν αὐτοὺς εἰωθότας.

3. Ἠτιά-

3. Ητιάσαντο μὲν γὰρ ἡμᾶς ὅτι βουλεύειν αὐτοῖς) Ἀρχὴ τῷ συμφέροντι κεφαλαίου· κατεσκεύασαι δὲ τῷ δικαίῳ, ἤτοι ἀδίκῳ τὸ συμφέρον· ὅτι ἀδικούντων, ἢ πλεονεκτούντων δόξαν εἴχομεν· διόπερ καὶ ἀπέστησαν ἡμῶν οἱ σύμμαχοι· ἵνα δὲ μὴ δοκῇ κατηγορεῖν τῆς πόλεως αὐτὸς, ἀνήνεγκε τὴν βλασφημίαν ὅτι Μαύσωλον· ἵνα καὶ ὑπὲρ τῆς πόλεως ἀπολογεῖται, ὡς ψευδῶς διαβαλομένης, καὶ ὑπὲρ τῶν Ῥοδίων ἠπατημένων. Ὁ γὰρ ταῦτα πλασάμενος, καὶ πείσας ἀποστῆναι ἐκεῖνος ἦν. Οὕτω τὸ δίκαιον ὑφεῖναι, ἦλθεν ὅτι τὸ συμφέρον· ὅπερ ἦν ἡ ὑπόθεσις, συμφέρει ἡμῖν ἀπολύσασθαι τὰς καθ' ἡμῶν διαβολὰς αὐτοῖς τοῖς ἔργοις· εἴληπται τοίνυν τὸ κεφάλαιον ἀπὸ τοῦ συμφέροντος τὴν κατασκευὴν ἔχοντος ἀπὸ τοῦ δικαίου, ἢ καταστρέφει εἰς τὸ ἔνδοξον· ὅτι πρέπον ἐστὶν ἔχειν

τὴν

τὴν εὐδοξίαν ἐκ τῶν ἔργων τὴν πόλιν. Πρὸς δὲ τοῦτο ἀντέπιπτεν ἀντίθεσις ἀπὸ τοῦ δυνατοῦ κεφαλαίου. Ἀλλὰ δεδοίκαμεν βασιλέα. Ταύτην ἔλυσεν ὁμογενῶς ἀπὸ τοῦ κεφαλαίου τοῦ δυνατοῦ· καὶ πρῶτον μὲν ἀπὸ τοῦ μαχομένου, κατὰ τὴν θέσιν αὐτῶν εὐθύς· ὅτι ὑπὲρ αὐτῶν ὅτι λέγων συμβουλεύειν τῇ πόλει βοηθεῖν Αἰγυπτίοις ἀφεστηκόσι τοῦ βασιλέως, καὶ φοβεῖσθαι βασιλέα ὑπὲρ Ῥοδίων· καὶ ἡ πρόθηκη τῆς αἰτίας· Ὅτι οἱ μὲν, Ἕλληνες, οἱ δὲ, εἰσὶν ἐν τῇ ἐκείνου ἀρχῇ μεμερισμένοι.

4. Ἐγὼ γὰρ, εἰ βασιλεὺς παρ' αὐτῷ ὄντά με) Δευτέρα λύσις· ὅτι ὅπου μὲν τῶν ἰδίων, πολεμήσειεν ἂν βασιλεὺς, ὅπου δὲ τῶν Ἑλλήνων, οὔ.

5. Εἰ μὲν οὖν ὅλως ἐγνώκατε ὦ ἄνδρες Ἀθηναῖοι) Τρίτη λύσις· εἰ μὲν οὖν ἐγνώκατε ἀδικούμενοι πολεμεῖν, ὧν ἀδικεῖ τοὺς Ἕλληνας βασιλεὺς ἐπαι-

ἐπαινῶν τὴν γνώμην, εἰ δὲ πᾶν ὁτιοῦν ὑπομένειν, μηδὲ νῦν ὀκνεῖται. Εἶτα ἐκ παραδείγματος, ὅτι καὶ Σάμον ἐλευθερώσαντος Τιμοθέου, κατειλημμένην ὑπὸ Κυπροθέμιδος οὐκ ἠγανάκτησε βασιλεύς.

6. Ὅτι δὲ οὐδ' ἐναντιωθῆναι ἄν μοι δοκεῖ ταύτῃ τῇ παρόξει). Ἄλλη ἀντίθεσις ἀπὸ τοῦ αὐτὸ δύνασθαι. Ἀλλ' Ἀρτεμισία ἡμῖν ἐναντιωθήσεται. Ἀρτεμισία δὲ Μαυσώλου μέν τινος ἀδελφὴ καὶ γαμετὴ, Καρίας ἐβασίλευεν· φιλίᾳ δὲ ἔπαθε βασιλεῖ διὰ τὸ οἰκεῖον συμφέρον αὐτῷ θεραπεύουσα· καὶ ἄρχουσα μὲν τῶν οἰκείων, οὐδὲν δὲ ἧττον φυλασσομένη βασιλεῖ προσκρούειν. ἔστι δ' ὅτε συλλαμβανομένη αὐτῷ, λείπει δὲ τῇ ἀντιθέσει κατασκευή· ἔδει γὰρ καὶ τὴν αἰτίαν προτεῖναι, δι' ἣν Ἀρτεμισία οὐ συγχωρήσειεν· ἀλλ' ἵνα μὴ χαλεποτέρα γένηται πρὸς

πρὸς τὴν λύσιν, τὴν κατασκευὴν καταλιπὼν, τὴν πρότασιν ἔθηκε μόνον, τὴν δὲ κατασκευὴν ταῖς λύσεσι συμπλέξας ἀθενεστέραν ἐποίησε. Λύει δὲ τῷ δυνατῷ καὶ συμφέροντι· καὶ τῷ μὲν δυνατῷ, κατὰ μερισμόν· εἰ μὲν εὖ πράττει, βασιλεῖ κατ' Αἴγυπτον βοηθήσαν· μὴ γὰρ εἰς ἀνόητον, ὥσπερ ὑπτειχισμα κατασκευάσω τῆς οἰκείας ἀρχῆς. Εἰ δὲ καὶ βοηθήσειε, φαύλως, καὶ ὀλίγῃ τῇ ῥώμῃ· ἀλλ' ἄχρι τοῦ δοκεῖν, διὰ βασιλέα· ἕτω μὲν ἓν ἀπὸ τοῦ δυνατοῦ τὴν ἀντίθεσιν ἔλυσεν· ἀπὸ δὲ τοῦ συμφέροντος, σοφιστικῶς· ἐκ οἶδα μὲν, εἰ βοηθήσει βασιλεῖ, συμφέρει δ' ἓν τῇ πόλει γνῶναι, πότερον ἀντιποιεῖται Ῥοδίων, ἢ ὄ· εἰ γὰρ ἀντιποιεῖται τῆς νήσου, δηλονότι καὶ πάντων τῶν Ἑλλήνων.

7. Οὐ μὴν ὅδ' ἂν εἰ δι' αὐτῶν εἶχον τὴν πόλιν) Καταστέλλει πολλὴν κατη-

κατηγορίαν τῶν Ῥοδίων, ἀξιοπιστίας ἕνεκα. Πάνυ γὰρ ξυμβάλλεται πρὸς πειθὼ τὴν πρὸς ἡδονὴν ἐν τοῖς τοιούτοις διαλέγεσθαι· δι' ἡδονῆς αὐτοῖς ὅτι τὸ κακῶς ἀκούειν Ῥοδίους· μέμνηται δὲ Ῥοδίων ὅθεν κακῶς· ἐνδεικνύμενος μήτε πρὸς χάριν, μήτε δι' εὔνοιαν λέγειν· νῦν μὲν ἐνδεικνύμενος, μισεῖ γοῦν λελυπηκότας τὴν πόλιν· νῦν δὲ μὴ ὑπὲρ Ῥοδίων ποιεῖσθαι τὸν λόγον· ἀλλ' ὑπὲρ αὐτοῦ τοῦ συμφέροντος, καὶ τῆς ὑπαρχούσης δόξης τῇ πόλει· μικρῷ δὲ καὶ οἰηθείη ἄν τις αὐτὸν συμβουλεύειν στρατεύειν ὅτι Ῥοδίους, καὶ δι' ὃ τὸν θυμὸν ἐνδείκνυται πρὸς τοῦτο ἠδικηκότας· ἀλλὰ δι' ὧν καταστρέχει τὸν δῆμον Ῥοδίων, διὰ τούτων πείθει τὸν δῆμον, καὶ δι' ὧν δοκεῖ κατηγορεῖν, μᾶλλον δοκεῖ παραινεῖν. Ταῦτα μὲν οὖν θαυμασίως ἐρητόρευσεν. Ἡ δὲ ἀντίθεσις ἔστιν ἀπὸ τοῦ δικαίου ἀν-

ἀντεγκλημαϊκῶς εἰσηγμένη· ἀλλ' ἄξιοι τούτων Ῥόδιοι τῆς πόλεως ὑποσάντες· ὃ μὴν τέθειται φερφανῶς· γίνεται δὲ φανερὰ τοῖς ὑπερήμοσιν ἀφ' αὐτῶν τῷ λύσεων· ἡ δὲ ἀρχὴ τῆς λύσεως ἔνθεν· ὃ μὴν γὰρ ὃδ' ἂν εἰ δι' αὐτῶν ἔχει τὴν πόλιν, οἱ νῦν ὄντες Ῥόδιοι, παρήνεσα ἂν ὑμῖν τούτους ἐλέσθαι· προφανῶς δὲ ἀρνεῖται τὴν πρὸς Ῥοδίους οἰκειότητα, φάσκων, μή τε ἰδίᾳ ξένος, μήτε δημοσίᾳ πρόξενος εἶναι τῶν ἀνδρῶν· ἵνα κἀντεῦθεν χώραν παρρησίαν ἑαυτῷ πρυτανεύσηται. Τίς γὰρ ἂν ἔτι ὑποπτεύσειε πρὸς χάριν λέγειν· τὸ, μηδεμίαν ἔχοντα οἰκειότητα; λείπεται ἓν τῷ κοινῇ συμφέροντος ἕνεκα ποιεῖσθαι τοὺς λόγους· μετὰ ταῦτα δὲ ὑπιβάλλῃ τῇ κατηγορίᾳ Ῥοδίων, ἀρχεῖσαν τιμωρίαν παρ' αὐτῶν γεγενῆσθαι φάσκων, τῷ τὴν ἐλευθερίαν αὐτοὺς ἀπολωλεκέναι· κυφίζων ταύτῃ τῆς

τῆς κατ' αὐτῶν ὀργῆς τὸν ἀκρατῆν, καὶ ἀποπιμπλὰς αὐτὸ τὸν θυμὸν, ὡς δοκεῖν κόρον ἔχειν, ἀφ' ὧν ἤδη πεπόνθασι Ῥόδιοι.

8. Οὔτε γὰρ πρόξενος τῶν ἀνδρῶν, ἔτε) Προξενεῖ, μαρτυρεῖ· πρόξενοι· πρεσβάται πόλεως καὶ φροντισταὶ, καὶ ξενίας ὑποδεχόμενοι.

9. Φημὶ δὴ χρῆναι πειρᾶσθαι σώζειν τοὺς ἄνδρας.) Οὐκ ἠδύνατο ἀξιῶν συγχωρεῖν Ῥοδίοις δίδοσθαι, πρὶν ἀπολύσασθαι τὰς ὑποψίας· διὰ τοῦτο κινηθείσης τῆς ὑποθέσεως, τὸ καθ' ἑαυτὸν διέλυσεν· εἶτα μηδενὸς λυμαινομένου τὴν δόξαν, ὅτι τὴν λύσιν θαρρῶν ἦλθε τῆς ἀντιθέσεως. Φημὶ δὴ χρῆναι πειρᾶσθαι σώζειν τοὺς ἄνδρας· ἐνδεικνύμενος διὰ τοῦ μνησικακεῖν τὴν δύναμιν τῆς ἀντιθέσεως· ὅτι, ἀλλ' ἄξιοι Ῥόδιοι· καὶ ὅτι δεῖ μνησικακεῖν αὐτοῖς. Πρὸς τὴν ἀντίθεσιν δὲ ἔχει τὴν ἀναφοράν.

φοράν. Ἀπολογία γάρ ἐστιν ἀντικρυς λαμπρὰ ὑπὲρ Ῥοδίων ἠπατημένων, ὥστε συγγνωμονικὴν εἶναι τὴν λύσιν, καὶ ἐξ ἀορίστων δὲ παραδειγμάτων βεβαιοῖ τὴν συγγνώμην· ὅτι γὰρ πολλὰ πολλάκις ἐξηπατήθην καὶ ὁ τῶν Ἀθηναίων δῆμος ὑπέμνησε· τὸ τοίνυν εἶδος τῆς συγγνώμης, κατὰ συνδρομήν· συμπρέχων γὰρ τὸ κατ' ἀξίαν ταῦτα πεπονθέναι Ῥοδίους, αἰτεῖ τοῖς ἠπατημένοις συγγνώμην· διχόθεν τὴν λύσιν ἐργαζόμενος, καὶ τῷ μὴ συνομολογεῖν, καὶ τῷ τὴν γνώμην αἰτεῖν.

ΕΠΙ-

ΕΠΙΤΑΦΙΟΣ

ΛΟΓΟΣ

ΠΕΡΙΚΛΕΟΥΣ ΚΑΙ ΤΟΥ Β'.

Τῆς Θουκυδίδου Συγγραφῆς.

Ὁν δὲ τὸν αὐτὸν χειμῶνι, οἱ Ἀθηναῖοι τὸ πατρίῳ νόμῳ χρώμενοι, δημοσίᾳ ταφὰς ἐποιήσαντο τοῖς ἐν τῷδε τῷ πολέμῳ πρώτοις ἀποθανόντων, τρόπῳ τοιῷδε. Τὰ μὲν ὀστᾶ προτίθενται τῇ ἀποχωμένων, σκηνὴν ποιήσαντες, ἢ ὅτι φέρει τὸν αὐτὸν ἕκαστος ἢν τι βούληται. ἐπειδὰν δὲ ἢ ἐκφορὰ ᾖ, λάρνακας κυπαρισσίνας

ἄγουσιν ἅμαξαι, φυλῆς ἑκάστης μίαν. ἔνεσι δὲ καὶ τὰ ὀστᾶ πάντων τῶν φυλῆς ἑκάστου χωρὶς φυλῆς. μία δὲ κλίνη κενὴ φέρεται ἐστρωμένη τοῖς ἀφανῶν, οἳ ἂν μὴ ἀνευρεθῶσιν ἐς ἀναίρεσιν. ξυνεκφέρει δὲ ὁ βουλόμενος καὶ ἀστῶν, καὶ ξένων. καὶ γυναῖκες παρῆσαν αἱ προσήκουσαι ἐπὶ τὸ τάφου ὀλοφυρόμεναι. τιθέασιν οὖν ἐς τὸ δημόσιον σῆμα, ὅ ἐστιν ἐπὶ τοῦ καλλίστου προαστείου τῆς πόλεως, καὶ ἀεὶ ἐν αὐτῷ θάπτουσι τοὺς ἐκ τῶν πολέμων, πλὴν γε τοῦ ἐν Μαραθῶνι, ἐκείνων δὲ διαφερόντως τῷ ἀρετῷ κείναντες, αὐτοῦ καὶ τὸν τάφον ἐποίησαν. ἐπειδὰν δὲ κρύψωσι γῆ, ἀνὴρ αἱρεθεὶς ὑπὸ τῆς πόλεως. ὃς ἂν γνώμῃ τε δοκῇ μὴ ἀξυνέτος εἶναι, καὶ ἀξιώματι προήκῃ, λέγει ἐπ' αὐτοῖς ἔπαινον τὸν πρέποντα. μετὰ δὲ τοῦτο, ἀπέρχονται. ὧδε μὲν θάπτουσι, καὶ διὰ παντὸς τοῦ πολέμου, ὁπότε ξυμβαίη αὐτοῖς, ἐχρῶντο τῷ νόμῳ. ὅτε δ' ἐν τοῖς πρώτοις

τοῖς

τοῖσδε, Περικλῆς ὁ Ξανθίππου ἠρέθη λέγειν, καὶ ἐπειδὴ καιρὸς ἐλάμβανε, προελθὼν ἀπὸ τοῦ σήματος ἐπὶ βῆμα ὑψηλὸν πεποιημένον, ὅπως ἀκούοιτο ὡς ἐπὶ πλεῖστον τοῦ ὁμίλου, ἔλεγε τοιάδε.

Οἱ μὲν πολλοὶ τῶν ἐνθάδε ἤδη εἰρηκότων, ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε, ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις ἀγορεύεσθαι αὐτὸν ἐμοὶ δ' ἂν ἀρκῶν ἐδόκει εἶναι, ἀνδρῶν ἀγαθῶν ἔργῳ δηλωθέντων, ἔργῳ καὶ δηλοῦσθαι τὰς τιμάς. οἷα καὶ νυνὶ περὶ τὸ τάφον τόνδε δημοσίᾳ παρασκευασθέντα ὁρᾶτε, καὶ μὴ ἐν ἑνὶ ἀνδρὶ πολλῶν ἀρετὰς κινδυνεύεσθαι, οὗ τε ἐς χεῖρον εἰπόντι πιστευθῆναι. χαλεπὸν γὰρ τὸ μετρίως εἰπεῖν, ἐν ᾧ μόλις καὶ ἡ δόκησις τῆς ἀληθείας βεβαιοῦται. ὅτε γὰρ ξυνειδὼς, καὶ εὔνους ἀκροατὴς, τάχ' ἄν τι ἐνδεεστέρως

πρὸς ἃ βέλεται τε καὶ ἔπεσθαι νομίσῃ δηλοῦσθαι, ὅ,τε ἄπιστος· ἔστιν ἃ καὶ πλεονάζεσθαι, δηλοῖ φθόνον, εἴ τι ὑπὲρ τὴν ἑαυτοῦ φύσιν ἀκούοι. Μέχρι γὰρ τοῦδε, ἀνεκτοὶ οἱ ἔπαινοί εἰσι καὶ ἑτέρων λεγόμενοι, ἐς ὅσον ἂν καὶ αὐτὸς ἕκαστος οἴηται ἱκανὸς εἶναι δρᾶσαί τι, ὧν ἤκουσε· τῷ δὲ ὑπερβάλλοντι αὐτῶν φθονοῦντες, καὶ ἄπιστοῦσιν. Ἐπειδὴ δὲ τοῖς πάλαι ἔδοξε καλῶς ἔχειν, χρὴ καὶ ἐμὲ ἑπόμενον τῷ νόμῳ, πειρᾶσθαι ὑμῶν τοῦ ἑκάστου βουλήσεώς τε καὶ δόξης τυχεῖν ὡς ἐπὶ πλεῖστον. ἄρξομαι δὲ ἀπὸ τῶν προγόνων πρῶτον, δίκαιον γὰρ αὐτοῖς καὶ πρέπον δὲ ἅμα ἐν τῷ τοιῷδε τὴν τιμὴν ταύτην τοῦ μνήμης διδόσθαι· τὴν γὰρ χώραν ἀεὶ οἱ αὐτοὶ οἰκοῦντες, διαδοχῇ τῶν ἐπιγιγνομένων, μέχρι τοῦδε, ἐλευθέραν δι' ἀρετὴν παρέδοσαν. καὶ ἐκεῖνοί τε ἄξιοι ἐπαίνου, καὶ ἔτι μᾶλλον οἱ πατέρες ἡμῶν. κτησάμενοι γὰρ πρὸς

οἷς

οἷς ἐδέξαντο ὅσῳ ἔχομεν ἀρχῇ, οὐκ ἀπόνως ἡμῖν τοῖς νεῦ προσκατέλιπον. τὰ δὲ πλέω αὐτῆς, αὐτοὶ ἡμεῖς οἴδε, οἱ νεῦ ἔτι ὄντες, μάλιστα ἐν τῇ καθεστηκυίᾳ ἡλικίᾳ ἐπηυξήσαμεν καὶ τὴν πόλιν τοῖς πᾶσι παρεσκευάσαμεν καὶ ἐς πόλεμον, καὶ ἐς εἰρήνην αὐταρκεστάτην. ὧν ἐγὼ τὰ μὲν τοῦ πολέμου ἔργα, οἷς ἕκαστα ἐκτήθη, ἢ εἴτι αὐτοὶ, ἢ οἱ πατέρες ἡμῶν βάρβαρον ἢ Ἕλληνα πόλεμον ὀπόντα προθύμως ἠμυνάμεθα, μακρηγορεῖν ἐν εἰδόσιν οὐ βουλόμενος, ἐάσω. ὁπόθεν δὲ οἵας τε ὑπηρχούσης ἤλθομεν ἐπ' αὐτὰ, καὶ μεθ' οἵας πολιτείας, καὶ τρόπων ἐξ οἵων μεγάλα ἐγένετο, ταῦτα δηλώσας πρῶτον, εἶμι καὶ ὅτι τὸν τῶνδε ἔπαινον, νομίζων ὅτε τε τοῦ παρόντι, οὐκ ἂν ἀφελεῖν λεχθεῖσι αὐτὰ, καὶ τὸ πάντα ὅμιλον ἐς ἀκοῦν, καὶ ξένων ξύμφορον εἰδέναι αὐτῶν ἐπακοῦσαι. χρήσιμα γὰρ πολιτείᾳ οὐ ζηλώσει τοὺς πέλας νόμους.

παράδειγμα δὲ αὐτοὶ μᾶλλον ὄντες τισὶν, ἢ μιμούμενοι ἑτέρους, καὶ ὄνομα μὲν, διὰ τὸ μὴ ἐς ὀλίγους, ἀλλ' ἐς πλείονας οἰκεῖν, δημοκρατία κέκληται. μέτεστι δὴ κατὰ μὲν τοὺς νόμους, πρὸς τὰ ἴδια διάφορα πᾶσι τὸ ἴσον, κατὰ δὲ τιμὴν ἀξίωσιν, ὡς ἕκαστον ἐν τῳ δοκιμεῖ, οὐκ ἀπὸ μέρους τὸ πλεῖον ἐς τὰ κοινὰ, ἢ ἀπ' ἀρετῆς πρωτιμᾶται. οὐδ' αὖ κατὰ πενίαν, ἔχων δέ τι ἀγαθὸν δράσαι τὴν πόλιν ἀξιώματος ἀφανείᾳ κεκώλυται. ἐλευθέρως δὲ τά τε πρὸς τὸ κοινὸν πολιτεύομεν. καὶ ἐς τὴν πρὸς ἀλλήλους τῆς καθ' ἡμέραν ἐπιτηδευμάτων ὑποψίαν, οὐ δι' ὀργῆς τὸν πέλας, εἰ καθ' ἡδονήν τι δρᾷν ἔχοντες, οὐδὲ ἀζημίους μὲν, λυπηρὰς δὲ τῇ ὄψει ἀχθηδόνας προστιθέμενοι, ἀνεπαχθῶς δὲ τὰ ἴδια προσομιλοῦντες, τὰ δημόσια διὰ δέος μάλιστα οὐ παρανομοῦμεν τῆς τε ἀεὶ ἐν ἀρχῇ ὄντων ἀκροάσει, καὶ τῶν νόμων, καὶ

καὶ μάλιστα αὐτῶν ὅσοι τε ἐπ' ὠφελείᾳ τῶν ἀδικουμένων κεῖνται, καὶ ὅσοι ἄγραφοι ὄντες ἀγχιστεῖα ὁμολογουμένῳ φέρουσι. Ὧν μὲν δὴ τῶν πόνων πλείας ἀναπαύλας τῇ γνώμῃ ἐποιεισάμεθα, ἀγῶσι μέν γε καὶ θυσίαις διετησίοις νομίζοντες, ἰδίαις δὲ καταστάσεσιν ὑπαρπέσιν, ὧν καθ' ἡμέραν ἡ τέρψις τὸ λυπηρὸν ἐκπλήσει· ἐπεισέρχεται δὲ καὶ μέγεθος τῆς πόλεως ἐκ πάσης γῆς τὰ πάντα· καὶ ξυμβαίνει ἡμῖν μηδὲν οἰκειοτέρᾳ τῇ ἀπολαύσει τὰ αὐτοῦ ἀγαθὰ γιγνόμενα καρπεῖσθαι, ἢ καὶ τὰ τῶν ἄλλων ἀνθρώπων. διαφέρομαι δὲ καὶ ταῖς τῶν πολεμικῶν μελέταις τῶν ἐναντίων τοῖσδε. τήν τε γὰρ πόλιν κοινὴν παρέχομεν, καὶ οὐκ ἔστιν ὅτε ξενηλασίαις ἀπείργομέν τινα ἢ μαθήματος, ἢ θεάματος, ὃ μὴ κρυφθὲν ἄν τις τῶν πολεμίων ἰδὼν ὠφεληθείη· πιστεύοντες οὐ ταῖς παρασκευαῖς τὸ πλέον καὶ ἀπάταις, ἢ τῷ

ἀφ' ἡμῶν αὐτῶν ἐς τὰ ἔργα ἀψύχῳ. καὶ ἐν ταῖς παιδείαις, οἱ μὲν, ὀπτόνῳ ἀσκήσει, ἀϑὺς νέοι ὄντες, τὸ ἀνδρεῖον μετέρχονται· ἡμεῖς δὲ, ἀνειμένως διαιτώμενοι, οὐδὲν ἧσσον ἐπὶ σοὶ ἰσοπαλεῖς κινδύνους χωροῦμεν. τεκμήριον δέ· ὅτε γὰρ Λακεδαιμόνιοι καθ' ἑκάστους, μὴ πάντων δ' ἐς τὴν γῆν ἡμῶν στρατεύουσι· τήν τε τῶν πέλας αὐτοὶ ἐπελθόντες, οὐ χαλεπῶς ἐν τῇ ἀλλοτρίᾳ σοὶ περὶ τῶν οἰκείων ἀμυνομένους μαχόμενοι τὰ πλείω κρατοῦμεν. ἀθρόᾳ τε τῇ δυνάμει ἡμῶν οὐδείς πω πολεμίῳ ἐνέτυχε, διὰ τὸ ναυτικόν τε ἅμα ὀπταῖς ἐπιμέλειαν, καὶ τὰ ἐν τῇ γῇ ὀπλὰ ἡμῶν αὐτῶν ὀπιπεμφϑαι. εἰ δέ που μοίρᾳ τινὶ προσμίξωσι, κρατήσαντές τε τινὰς ἡμῶν, πάντας ἀνχοῦσιν ἀπεωϑαι, καὶ νικηϑέντες, ὑφ' ἁπάντων ἡσσῆϑαι· καίτοι εἰ ῥαϑυμίᾳ μᾶλλον ἢ πόνων μελέτῃ, καὶ μὴ μετὰ νόμων τὸ πλεῖον, ἢ ξόπων ἀνδρείας ἐϑέ-

ἐθέλοιμι μὴ κινδυνεύειν, προσγίγνεται ἡμῖν τοῖς τε μέλλουσιν ἀλγεινοῖς μὴ προσκάμνειν, καὶ ἐς αὐτὰ ἐλθοῦσι, μὴ ἀτολμοτέρους τ' ἀεὶ μοχθούντων φαίνεσθαι· ἢ ἔντε τούτοις τὴν πόλιν ἀξίαν ἔτι θαυμάζεσθαι, καὶ ἔτι ἐν ἄλλοις. φιλοκαλοῦμέν τε γὰρ μετ' εὐτελείας, καὶ φιλοσοφοῦμεν ἀνὰ μαλακίας· πλούτῳ τε ἔργου μᾶλλον ἐν καιρῷ ἢ λόγου κόμπῳ χρώμεθα. καὶ τὸ πένεσθαι ἐχ ὁμολογεῖν τινι αἰσχρὸν, ἀλλὰ μὴ διαφεύγειν ἔργῳ, αἴσχιον. ἔνι τε τοῖς αὐτοῖς οἰκείων ἅμα, καὶ πολιτικῶν ἐπιμέλεια, καὶ ἑτέροις πρὸς ἔργα τεθαμμένοις, τὰ πολιτικὰ μὴ ἐνδεῶς γνῶναι. μόνοι γὰρ τότε μηδὲν τῶνδε μετέχοντα, οὐκ ἀπράγμονα, ἀλλ' ἀχρεῖον νομίζομεν· καὶ αὐτοὶ ἤτοι κρίνομέν γε, ἢ ἐνθυμούμεθα ὀρθῶς τὰ πράγματα, οὐ τοὺς λόγους τοῖς ἔργοις βλάβην ἡγούμενοι, ἀλλὰ μὴ προδιδαχθῆναι μᾶλλον λόγῳ πρότερον, ἢ ὅτι ἃ δεῖ

ἔργῳ ἐλθεῖν. διαφερόντως γὰρ δὴ καὶ τόδε ἔχομεν, ὥστε τολμᾶν τε οἱ αὐτοὶ μάλιστα, καὶ περὶ ὧν ἐπιχειρήσομεν, ἐκλογίζεσθαι. ὃ τοῖς ἄλλοις ἀμαθία μὲν θράσος, λογισμὸς δ' ὄκνον φέρει. κράτιστοι δ' ἂν τὴν ψυχὴν δικαίως κριθεῖεν, οἵτινες καὶ τὰ δεινὰ καὶ ἡδέα σαφέστατα γιγνώσκοντες, καὶ διὰ ταῦτα μὴ ἀποτρεπόμενοι ἐκ τῶν κινδύνων. καὶ τὰ ἐς ἀρετὴν ἀνταντιώμεθα τοῖς πολλοῖς· Οὐ γὰρ πάσχοντες εὖ, ἀλλὰ δρῶντες, κτώμεθα τοὺς φίλους. βεβαιότερος δὲ ὁ δράσας τὴν χάριν, ὥστε ὀφειλομένην δι' εὐνοίας ᾧ δέδωκε σώζειν· ὁ δ' ἀντοφείλων, ἀμβλύτερος, εἰδὼς ὅτι ἐς χάριν, ἀλλ' ἐς ὀφείλημα τὴν ἀρετὴν ἀποδώσων. καὶ μόνοι ἀ τῷ ξυμφέροντος μᾶλλον λογισμῷ, ἢ τῷ ἐλευθερίᾳ τῷ πίστει ἀδεῶς τινα ὠφελῶμεν. ξυνελών τε λέγω, τήν τε πᾶσαν πόλιν, τὴν Ἑλλάδα παίδευσιν εἶναι, καὶ καθ' ἕκαστον δο-

δοκεῖν ἂν μοι τ' αὐτὸν ἄνδρα παρ' ἡμῖν ὅτι πλεῖς' ἂν εἴδῃ, & μὴ χαρίτων μάλις' ἂν ἀζαπέλως τὸ σῶμα αὔταρκες παρέχεσθαι. & ὡς ἐ λόγων ἐν τῷ παρόντι κόμπος τάδε μᾶλλον, ἢ ἔργων ὄψιν ἀλήθεια, αὖτη ἡ δύναμις τ' πόλεως, ἰὼ ἀπὸ τῶνδε τ' ζόπων ἐκτησάμεθα, σημαίνει. μόνη γὲ τῇ νεῶ ἀκοῆς χρείαν ἐς πεῖραν ἔρχεται, καὶ μόνη ἔτε τῷ πολεμίῳ ἐπελθόντι ἀγανάκλησιν ἔχει, ὑφ' οἵων κακοπαθεῖ, ἔτε τῷ ὑπηκόῳ κατάμεμψιν, ὡς ἐχ ὑπ' ἀξίων ἄρχεται. μὴ μεγάλων δὲ σημείων, καὶ ἐ δήτοι ἁμάρτυρόν γε τὴν δύναμιν παρεχόμενοι, τοῖς τε νεῶ, & τοῖς ἔπειτα θαυμαθησόμεθα· καὶ ἐδὲν φροσδεόμενοι ἔτε Ὁμήρε ἐπαινέτε, ἔτε ὅστις ἔπεσι μὲν τὸ αὐτίκα τέρψει, τῇ δ' ἔργων τὴν ὑπόνοιαν ἡ ἀλήθεια βλάψει, ἀλλὰ πᾶσαν μὲν θάλασσαν, καὶ γὴν ἐσβατὸν τῇ ἡμετέρᾳ τόλμῃ κα-

ξαναγκάσαντες γνώσθαι, πανταχῇ δὲ μιμεῖσθαι κακῶν τε κἀγαθῶν αἴτιοι ξυγκαταστήσαντες. περὶ τοιαύτης δὴ πόλεως οἵδε τε γνησίως, δικαιοῦντες μὴ ἀφαιρεθῆναι αὐτὴν, μαχόμενοι ἐτελεύτησαν, καὶ τῶν λειπομένων πάντα τινὰ εἰκὸς ἐθέλειν ὑπὲρ αὐτῆς κάμνειν. διὸ δὴ καὶ ἐμήκυνα τὰ περὶ τῆς πόλεως, διδασκαλίαν τε ποιούμενος μὴ περὶ ἴσα ἡμῖν εἶναι τὸν ἀγῶνα, καὶ οἷς τῶνδε μηδὲν ὑπάρχει ὁμοίως, καὶ τὴν ἀλογίαν ἅμα ἐφ' οἷς νυνὶ λέγω φανερὰν σημείοις καθιστάς· καὶ εἰρηκὼς αὐτῆς τὰ μέγιστα· ἃ γὰρ τὴν πόλιν ὕμνησα, αἱ τῶνδε καὶ τῶν τοιῶνδε ἀρεταὶ ἐκόσμησαν· καὶ οὐκ ἂν πολλοῖς τῶν Ἑλλήνων ἰσόρροπος, ὥσπερ τῶνδε, ὁ λόγος τῶν ἔργων φανείη. δοκεῖ δέ μοι δηλοῦν ἀνδρὸς ἀρετὴν, πρώτη τε μηνύουσα, καὶ τελευταία βεβαιοῦσα, ἡ νυνὶ τῶνδε καταστροφή. καὶ γὰρ τοῖς ἄλλα χείρασι δίκαιον τὴν ἐς τοὺς πολε-

μίους

λέμως ὑπὲρ τ̃ παξίσ̃ος ἀνδραγαθίαν
προτίθεσθαι. ἀγαθῷ γὰ κακὸν ἀφα-
νίσαντες, κοινῶς μᾶλλον ὠφέλησαν,
ἢ ἐκ τ̃ ἰδίων ἔβλαψαν· τῶνδε δὲ ὅτε
πλέτ̃ τις τ̃ ἔτι ἀπόλαυσιν προτιμή-
σας ἐμαλακίθη, ὅτε πενίας ἐλωίδι,
ὡς καὰν ἔτι δραφυγὼν αὐτὰ πλουτή-
σειεν, ἀναβολὰ τ̃ δανῦ ἐποιήσατο.
τὴν δὲ τ̃ ἐναντίων τιμωρίαν ποθει-
νοτέραν αὐτῶν λαβόντες, ἅ κινδύνων
ἅμα τόνδε κάλλιστον νομίσαντες, ἠβυ-
λήθησαν μετ' αὐτ̃, τοὺ μὲν, τιμωρεῖ-
σθαι, τ̃ δὲ ἐφίεσθαι. ἐλπίδι μὲν τὸ ἀ-
φανὲς τ̃ κατορθώσειν ὑπερέφαντες,
ἔργῳ δὲ περὶ τ̃ ἤδη ὁρωμένυ σφίσιν
αὐτοῖς ἀξιῶντες πεποιθέναι· καὶ ἐν αὐ-
τ̣ῷ τ̣ῷ ἀμύνασθαι καὶ παθεῖν μᾶλλον
ἡγησάμενοι, ἢ τ̣ῷ ἐνδόντες σώζεσθαι,
τὸ μὲν αἰσχρὸν τ̃ λόγυ ἔφυγον, τὸ δ'
ἔργον, τ̣ῷ σώματι ὑπέμειναν, καὶ δι'
ἐλαχίστυ καιρ̃ τύχης ἅμα ἀκμῇ τῆς
δό-

δόξης μᾶλλον, ἢ τὸ δέους ἀπηλλάγησαν, καὶ οἵδε μὲν προσηκόντως τῇ πόλει τοιοίδε ἐγένοντο. σοὶ δὲ λοιπὸν χρὴ ἀσφαλεστέραν μὲν ἔχειν, ἀτολμοτέραν δὲ μηδὲν ἀξιοῦν τῶν ἐς σοῦ πολεμίους δόξαν ἔχειν, σκοποῦντας μὴ λόγῳ μόνῳ τὸ ὠφέλιμον. ἦν ἄν τις πρὸς ὑδὲν χεῖρον αὐτὸς ὑμᾶς εἰδότας μηκύνοι λέγων ὅσα ἐν τῷ σοῦ πολεμίους ἀμύνεσθαι, ἀγαθὰ ἔνεστιν· ἀλλὰ μᾶλλον τὴν τῆς πόλεως δύναμιν καθ' ἡμέραν ἔργῳ θεωμένους, καὶ ἐραστὰς γιγνομένους αὐτῆς. καὶ ὅταν ὑμῖν μεγάλη δόξῃ εἶναι, ἐνθυμουμένους ὅτι τολμῶντες, καὶ γιγνώσκοντες τὰ δέοντα, καὶ ἐν τοῖς ἔργοις αἰσχυνόμενοι ἄνδρες αὐτὰ ἐκτήσαντο. καὶ ὁπότε καὶ πεῖρά του σφαλείησαν, ἄκων καὶ τὴν πόλιν γε τῆς σφετέρας ἀρετῆς ἀξιοῦντες στερίσκειν, κάλλιστον δὲ ἔρανον αὐτῇ προϊέμενοι. κοινῇ γὰρ τὰ σώματα δίδοντες, ἰδίᾳ τ' ἀγήρων

ργον ἔπαινον ἐλάμβανον, καὶ τὸ τάφον ὑπισημότατον, ὐκ ἐν ᾧ κεῖνται μᾶλλον, ἀλλ' ἐν ᾧ ἡ δόξα αὐτῶν πᾶσι τῷ ἐντυχόντι ἀεὶ ἐς λόγυ καὶ ἔργυ καιρὸς ἀείμνηστος καταλείπεται. Ἀνδρῶν γὰρ ὑπφανῶν πᾶσα γῆ τάφος, καὶ ὐ στηλῶν μόνον ἐν τῇ οἰκείᾳ σημαίνει ὑπογεγραφὴ, ἀλλὰ ἐς ἐν τῇ μὴ προσηκούσῃ ἀγεγραφος μνήμη παρ' ἑκάστῳ τῆς γνώμης μᾶλλον, ἢ τῷ ἔργυ ἐνδιαιτᾶται. ὃς νυῦ ὑμεῖς ζηλώσαντες, καὶ τὸ εὔδαιμον, τὸ ἐλεύθερον, τὸ δὲ ἐλεύθερον, τὸ εὔψυχον κρίναντες, μὴ περιοράσθε τὸν πολεμικὸς κινδύνυς· ὐ γὰρ οἱ κακοπραγοῦντες δικαιότερον ἀφειδοῖεν ἂν τοῦ βίυ, οἷς ἐλπὶς ὐκ ἔς' ἀγαθόν, ἀλλ' οἷς ἡ ἐναντία μεταβολὴ ἐν τῷ ζῆν ἔτι κινδυνεύεται, ἐς ἐν οἷς μάλιστα μεγάλα τὰ διαφέροντα, ἢν τι πταίσωσιν. Ἀλγεινοτέρα γὰρ ἀνδρί γε φρόνημα ἔχοντι ἡ ἐν τῷ μὴ τοῦ μαλακισθῆναι κάκω-

κωσις, ἢ ὁ μὴ ῥώμης ἢ κοινῆς ἐλπίδος ἅμα γιγνόμενος ἀναίσθητος θάνατος. διόπερ καὶ σὺ τῶνδε νεῶν τοκέας, ὅσοι πάρεστε, οὐκ ὀλοφύρομαι μᾶλλον, ἢ παραμυθήσομαι. ἐν πολυτρόποις γὰρ ξυμφοραῖς ἔπεσαντα τεθράφθε, τὸ δ' ἀτυχὲς, οἵ ἂν τῆς εὐπρεπεστάτης λάχωσιν, ὥσπερ οἵδε μὲν νεῶν, τελευτῆς, ὑμεῖς δὲ λύπης· ᾧ ἐν οἷς εὐδαιμονῆσαί τε ὁ βίος ὁμοίως, καὶ ἐντελευτῆσαι ξυνεμέτρηθη. χαλεπὸν μὲν οὖν οἶδα πείθειν ὄν, ὧν καὶ πολλάκις ἔξετε ὑπομνήματα ἐν ἄλλων ἀτυχίαις, αἷς ποτε καὶ αὐτοὶ ἠγάλλεσθε, ᾧ λύπη οὐχ ὧν ἄν τις μὴ πειρασάμενος ἀγαθῶν στερίσκηται, ἀλλ' ἃ ἂν ἐθὰς γεγώμενος, ἀφαιρεθείη. καρτερεῖν δὲ χρὴ ᾧ ἄλλων παίδων ἐλπίδι, οἷς ἔτι ἡλικία τέκνωσιν ποιεῖσθαι· ἰδίᾳ τε γὰρ οὐκ ὄντων λήθη οἱ ἐπιγιγνόμενοί τισιν ἔσονται· καὶ τῇ πόλει διχό-

δίχόθεν, ἔκ τε τῦ μὴ ἐρημῦδθ, κὴ ἀσφαλείᾳ ξωνοίσειν. ἐ γὰ οἷόν τε ἶσόν τι, ἢ δίκαιον βκλεύεδθ, οἳ ἂν μὴ Ϛ παῖδας ἐκ τῦ ὁμοίκ ωδαβαλλόμθοι κινδυνεύωσιν. ὅσοι δ' ὦ παρηβήκατε, τόν τε πλείονα, κέρδος ὂν, δ'τυχεῖτε βίον, ἡγεῖδε, κὴ τόνδε βραχὺ ἔσεδθ, κὴ τῇ τῶνδε δ'κλείᾳ κυφίζεδε. τὸ γὰ φιλότιμον ἀγήρων μόνον. κὴ ὐκ ἐν τῷ ἀχρείῳ τῆς ἡλικίας τὸ κερδαίνειν, ὥσπερ τινές φασι, μᾶλλον τέρπει, ἀλλὰ τὸ τιμᾶδθαι. παισὶ δ' αὖ ὅσοι τῶνδε πάρεστε, ἢ ἀδελφοῖς, ὁρῶ μέγαν τ' ἀγῶνα. Τὸν γὰ ὐκ ὄντα ἅπας εἰωθεν ἐπαινεῖν· κὰ μόλις ἂν καθ' ὑπερβολὴ ἀρετῆς ὐχ ὅμοιοι, ἀλλ' ὀλίγῳ χείρες κριθείητε. φθόνος γὰ τοῖς ζῶσι πρὸς τὸν ἀντίπαλον. τὸ δ' μὴ ἐμποδὼν, ἀναγωνίστῳ δ'νοίᾳ τετίμηδαι. εἰ δέ με δεῖ Ϛ γυναικείας τι ἀρετῆς, ὅσαι νυῦ ἐν χηρείᾳ ἔσονδαι, μνησθῆναι, βραχεία παραινέσει

ἅπαν

ἅπαν σημανῶ. τῆς τε γὰρ ὑπαρχούσης φύσεως μὴ χείρονσι γιγνέσθαι, ὑμῖν, μεγάλη ἡ δόξα, καὶ οἷς ἂν ἐπ' ἐλάχιστον ἀρετῆς τύχῃ ἡ φόβος ἐν τοῖς ἄρσεσι κλέος ἦ. εἴρηται καὶ ἐμοὶ λόγῳ καὶ τὰ νόμον, ὅσα εἶχον τοιόσδε, καὶ ἔργῳ, οἱ θαπόμενοι τὰ μὲν, ἤδη κεκόσμηνται, τὰ δὲ, αὐτῶν τοῦ παῖδας τὸ λοιπὸ τῇδε δημοσίᾳ ἡ πόλις μέχρις ἥβης θρέψει, ὠφέλιμον στέφανον τοῖς δέ τε, καὶ τοῖς λειπομένοις τῶν τοιῶνδε ἀγώνων τοιθεῖσα. Ἆθλα γὰρ οἷς κεῖται ἀρετῆς μέγιστα, τοῖς δὲ καὶ ἄνδρες ἄριστοι πολιτεύουσι· νῦν δὲ ἀπολοφυράμενοι ὃν τοιοῦτοι ἑκάστῳ, ἄπιτε.

Τοιόσδε μὲν ὁ τάφος ἐγένετο ἐν τῷ χειμῶνι τούτῳ.

ΕΠΙΣΤΟΛΑΙ

Ἀριστοτέλης Φιλίππῳ.

Ι᾽ πολλοὶ τῶν φιλοσόφων τὴν εὐεργεσίαν θεῷ ἰσότιμον παρεσκεύασαν. ὡς γὰρ ἁπλῶς εἰπεῖν, χάριτος ἀμοιβὴ καὶ δόσις· συνέχει γὰρ τῶν ἀνθρώπων βίους, τῶν μὲν διδόντων, τῶν δὲ λαμβανόντων, τῶν δ᾽ αὖ πάλιν ἀνταποδιδόντων· διὸ καλὸν καὶ δίκαιόν ἐστι πάντας μὲν ἀτυχοῦντας ἐλεεῖν· οἰκτος μὲν γὰρ ἡμέρᾳ ψυχῆς ἐστι σημεῖον, χαλεπότης δὲ ἀπαιδευτίᾳ. αἰσχρὸν γὰρ ἡγοῦ χρῆναι ἀρετὴν ἀτυχοῦσαν θεωρᾶν· ὅθεν ἐπαινῶ καὶ τὸν ἡμέτερον γνώριμον Θεόφραστον λέγοντα τὴν

χάριν

χάειν ἀμεταμέλητον εἶναι, καὶ καλὸν καρπὸν φέρειν, τὸν ἀπὸ τῆς εὖ παθόντων ἔπαινον. διόπερ δεῖ σὺν νῷ ἔχοντας τῆς ἀνθρώπων, εἰς πολλοὺς αὐτὴν κατατίθεσθαι, νομίζοντας χωρὶς τῆς εὐφημίας, ἕρανόν τινα τοῦτο αὐτοῖς ὑπάρξειν ἐν ταῖς μεταβολαῖς τῆς πραγμάτων, καὶ εἴγε μὴ πάντας, ἀλλ' ἕνα τινὰ τῆς εὐεργετημάτων ἀποδώσειν τὴν χάειν. ὅθεν πειρῶ πρόθυμος μὲν εἶναι ταῖς εὐεργεσίαις, ἔποχος δὲ τοῖς θυμοῖς. τὸ μὲν γὰρ βασιλικόν τε καὶ ἥμερον, τὸ δὲ βάρβαρόν τε καὶ συγητόν. τὰ δ' ἄλλα καθὼς ἂν δοκιμάζῃς, πράττε, μὴ παρορῶν τὰς λυσιτελεῖς ψήφους.

Ἀριστοτέλης Ἀλεξάνδρῳ.

Ἀπορῶ τίνων ἢ ποίων ἀρχή μοι λάβοι πρὸς σέ· ἐφ' ἃ γὰρ ἂν ὁπισκο-

ἐπισκοπῶν ὑπιβάλλω τῇ διανοίᾳ, πάντα μοι φαίνεται μεγάλα καὶ θαυμαστά· καὶ λήθης οὐδὲν ἄξιον ὁρῶ, μνήμης δὲ οἰκεῖα καὶ περιέφεως· ὧν οὐδὲν οὐδεὶς ἀμαυρώσει χρόνος. αἱ γὰρ καλαὶ τῶν διδασκάλων παραινέσεις καὶ περιέφειαι θεατὴν ἔχουσι τὸν αἰῶνα. διὸ πειρῶ τὴν ἀρχὴν μὴ εἰς ὕβριν, ἀλλ' εἰς εὐεργεσίαν κατατίθεσθαι πρὸς ἀρχήν, ἧς οὐδὲν μεῖζον τῶν ἐν βίῳ ὑπάρχειν πέφυκε. διὸ καὶ τὸ θνητὸν τῆς φύσεως πολλάκις ὑπὸ τῶν χρεὼν διαλυόμενον ἄφθαρτον διὰ τὸ μέγεθος τῶν ἔργων κέκτηται τὴν μνήμην. τούτων οὖν τὴν ἔννοιαν ἔχε. ὁ γὰρ ἀλογίστως ἤχθης ὡς ἔνιοι, οἱ ἀτόπως καὶ τὰς γνώμας διετέθησαν· σοὶ καὶ γένος ἔντιμον, καὶ βασιλεία πατρῴος, καὶ παιδεία βέβαιος, καὶ δόξα περίβλεπτος· καὶ ὅσον ταῖς ἀφορμαῖς τῆς τύχης διαφέρεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς τῶν καλῶν

λῶν περιτέυειν σε δεῖ. τὰ δ' ἄλλα περάττε μὲν τὰ ξυμφέροντα, ὑπιτέλει δὲ τὰ δόξαντα.

Ἀλέξανδρος Ἀριστοτέλει εὖ πράτειν.

Οὐκ ὀρθῶς ἐποίησας ἐκδοὺς τοὺς ἀκροαματικοὺς τῶν λόγων. τίνι γὰ ἔτι διοίσομεν ἡμεῖς τῶν ἄλλων, εἰ καθ' οὓς ἐπαιδεύθημεν λόγους, ὅτοι πάντων ἔσονται κοινοί; ἐγὼ δὲ βελτίμιω ἂν ταῖς περὶ τὰ ἄριστα ἐμπειρίαις, ἢ ταῖς δυνάμεσι διαφέρειν. ἔῤῥωσο.

Ἀριστέλης Ἀλεξάνδρῳ εὖ πράτειν.

Ἔγραψάς μοι περὶ τῶν ἀκροαματικῶν λόγων, οἰόμενος δεῖν αὐτοὺς φυλάττειν ἐν ἀπορῥήτοις· ἴσθι ἔν αὐτοὺς καὶ ἐκδεδομένους, καὶ μὴ ἐκδεδομένους· ξυνετοὶ γάρ εἰσι μόνοις τοῖς ἡμῶν ἀκούσασιν, ἔῤῥωσο.

Διογέ-

Διογένης Ἀπολλήξιδι.

Ε'Νέτυχόν σοι περὶ οἰκήσεως, καὶ χάρις ὑποχομένῳ. κοχλίαν δὲ θεασάμενος εὗρον οἴκησιν ἀλεεινήν. ἀπόλελυσο ἓν τῆς ὑπηρεσίας, καὶ σύγχαιρε ἡμῖν τὴν φύσιν εὑρίσκουσιν.

Ἀλεξάνδρῳ.

Ε'ὐαγγελίζη μοι βασιλέα Μακεδόνων ἀποδάζειν περὶ τὴν θέαν ἡμῶν. εὖ δὲ ἐποίησας προθεὶς τῷ βασιλεῖ τοὺς Μακεδόνας. τὰ γὰρ ἡμέτερα ἥδιας ἀβασίλευτα. ἰδεῖν δὲ τὸν ἐμὸν τύπον μηδεὶς ὡς ξένον βουλεύεσθω. εἰ δὲ μεταλαβεῖν Ἀλέξανδρος βίου καὶ λόγου βούλεται, λέγε αὐτῷ ὅτι ὅσον ἐξ Ἀθηνῶν εἰς Μακεδονίαν, τοσοῦτον ἢ ἐκ Μακεδονίας εἰς Ἀθήνας.

Κρά-

Κράτης τοῖς ἑταίροις.

Φιλοσοφεῖτε πολλάκις, ἢ ἀναπνεῖτε. αἱρετώτερον γὰρ τὸ εὖ ζῆν, ὃ ποιεῖ φιλοσοφία, τοῦ ζῆν ὃ ποιεῖ ἀναπνοή. καὶ μὴ ὡς ἄλλοι· ἀλλ' ὡς ἤρξατο μὲν Ἀντισθένης, ἐτελείωσε δὲ Διογένης. εἰ δὲ δύσκολον τὸ ὧδε φιλοσοφεῖν, ἀλλὰ σωτηριώτερον. ὡρὸς δὲ εὐδαιμονίαν, ὡς ἔλεγε Διογένης, κἂν διὰ πυρὸς βαδιστέον.

Ὠριγένει.

Οὐ ποιεῖ ἀγρὸς ἀπαίδευτος ἐδὲ ἄσυ φαύλους, ἀλλ' αἱ σὺν τοῖς ἀγαθοῖς καὶ κακοῖς διατριβαί. ὥς τ' εἰ βούλει ἀγαθοὺς καὶ μὴ κακοὺς γενέσθαι σοι τοὺς παῖδας, πέμπε μὴ κατ' ἀγρὸν, ἀλλ' εἰς φιλοσόφου· ἵνα μὴ αὐτοὶ βασκαίνοντες, τὰ καλὰ ἐμάθομεν. ἀσκητὸν γὰρ ἀρετὴ, καὶ οὐκ αὐτόματον ἐμβαίνει τῇ ψυχῇ, ὥσπερ κακία.

ΕΗΠ

ΕΓΗ ΔΙΑΦΟΡΩΝ.

ΚΑΛΛΙΜΑΧΟΥ.

Τῆδε Σάων ὁ Δίκωνος Ἀκάνθιος ἱερὸν ὕπνον
Κοιμᾶται· θνήσκειν μὴ λέγε τὸν ἀγαθόν.

Τοῦ αὐτοῦ.

Εἴπέ τις, Ἡράκλειτε, τεὸν μόρον· ἐς δέ με δάκρυ
Ἦγαγε, μνήσθην δ' ὁσάκις ἀμφότεροι
Ἥλιον ἐν λέσχῃ κατεδύσαμεν. ἀλλὰ σὺ μέν που
Ξεῖν' Ἁλικαρνασεῦ, τετράπαλαι σποδιή.
Αἱ δὲ τεαὶ ζώουσιν ἀηδόνες· ἧσιν ὁ πάντων
Ἁρπακτὴρ ἀΐδης οὐκ ὀπὶ χεῖρα βαλεῖ.

ΠΟΣΕΙΔΙΠΠΟΥ.

Εἰς ἄγαλμα τῦ κωμῳδ̃.

Τί̓ς ποθεν ὁ πλάστης; Σικυώνιος.
Οὔνομα δὴ τίς;
Λύσιππος. Σὺ δὲ τίς; Καιρὸς ὁ παν-
δαμάτωρ.
Τίπτε δ' ἐπ' ἄκρα βέβηκας; Ἀεὶ τρο-
χάω. Τί δὲ ταρσὼ̀ς
Ποσὶν ἔχεις διφυεῖς; Ἵπταμ' ὑπη-
νέμιος.
Χερὶ δὲ δεξιτερῇ τί φέρεις ξυρόν; Ἀν-
δράσι δεῖγμα,
Ὡς ἀκμῆς πάσης ὀξύτερος τελέθω.
Ἦ δὲ κόμη, τί κατ' ὄψιν; Ὑπαντιά-
σαντι λαβέσθαι.
Νὴ Δία; τἀξόπιθεν πρὸς τί φάλα-
κρὰ πέλει;
Τὸν γὰρ ἅπαξ πτηνοῖσι παθὼν ἐξάντα με
ποσὶν,
Οὔ τις ἔθ' ἱμείρων δράξεται ἐξόπιθεν.

Τοῖον

Τοῖον ὁ τεχνίτης με διέπλασεν εἵνεκεν ὑμέων,
Ξεῖνε, καὶ ἐν σφετέροις θῆκε διδασκαλίῃ.

Εἰς ἄγαλμα τῦ Ἡλίῳ τῦδε τῦ Ῥοδίων.

Ἄγχι σοι πρὸς Ὄλυμπον ἐμακύναντο κολοσσὸν
Τόνδε, Ῥόδῳ ναέται δωρίδος Ἀέλιε.
Χάλκεον, ἀνίκα κῦμα κατευνάσαντες Ἐνυεῖς,
Ἔσεψαν πάτραν δυσμενέων ἐνάροις.
Οὐ γὰρ ἐπ' πελάγευς μόνον ἄνθεσαν, ἀλλὰ καὶ ἐν γᾷ
Ἄβρὸν ἀδαλώτῳ φέγγος ἐλευθερίης.
Τοῖς γὰρ ἀφ' Ἡρακλῆος ἀεξηθεῖσι γενέθλης.
Πάτειος ἐν πόντῳ, κεἰν χθονὶ κοιρανίη.

ΠΟΣΕΙΔΙΠΠΟΥ.

Εἰς ἄγαλμα τῦ καιρῦ.

Τί̓ς ποθεν ὁ πλάστης; Σικυώνιος. Οὔνομα δὴ τίς;
Λύσιππος. Σὺ δὲ τίς; Καιρὸς ὁ πανδαμάτωρ.
Τίπτε δ' ἐπ' ἄκρα βέβηκας; Ἀεὶ τροχάω. Τί δὲ ταρσὸς
Ποσὶν ἔχεις δίφυεῖς; Ἵπταμ' ὑπηνέμιος.
Χερὶ δὲ δεξιτερῇ τί φέρεις ξυρόν; Ἀνδράσι δεῖγμα,
Ὡς ἀκμῆς πάσης ὀξύτερος τελέθω.
Ἦ δὲ κόμη, τί κατ' ὄψιν; Ὑπαντιάσαντι λαβέσθαι.
Νὴ Δία; τἀξόπιθεν πρὸς τί φάλακρὰ πέλει;
Τὸν γὰρ ἅπαξ πτηνοῖσι παθρέξαντά με ποσσὶν,
Οὔ τις ἔθ' ἱμείρων δράξεται ἐξόπιθεν.

Τοῖον

Τοῖον ὁ τεχνίτης με διέπλασεν εἵνεκεν ὑμέων,
Ξεῖνε, καὶ ἐν προθύροις θῆκε διδασκαλίῃ.

Εἰς ἄγαλμα τῦ Ἡλίω πρὸς τὴν Ῥοδίων.

Ἄντιά σοι πρὸς Ὄλυμπον ἐμακύναντο κολοσσὸν
Τόνδε, Ῥόδε ναέτα δωρίδος Ἀέλιε.
Χάλκεον, ἀνίκα κῦμα κατευνάσαντες Ἐνυῆς,
Ἔσεψαν πάτραν δυσμενέων ἐνάροις.
Οὐ γὰρ ὑπὲρ πελάγευς μόνον ἄνθεσαν, ἀλλὰ καὶ ἐν γᾷ
Ἄβρὸν ἀδυλώτυ φέγγος ἐλευθερίης.
Τοῖς γὰρ ἀφ' Ἡρακλῆος ἀεξηθεῖσι γενέθλης.
Πάτειος ἐν πόντῳ, κὴν χθονὶ κοιρανίη.

ΣΙΜΩΝΙΔΟΥ.

Εἰς τὸν ἐν Ῥόδῳ κολοσσόν.

ΤΟΝ ἐν Ῥόδῳ κολοσσὸν ἑκτάκις δέκα
Λάχης ἐποίει πηχέων ὁ Λίνδιος.

ΛΟΥΚΙΑΝΟΥ.

Εἰς τὸν ἀνθρώπινον βίον.

ΘΝητὰ τὰ τῶν θνητῶν, ἡ πάντα παρέρχεται ἡμᾶς.
Ἢν δὲ μὴ, ἀλλ' ἡμεῖς αὐτὰ παρερχόμεθα.

Τοῦ αὐτοῦ, Εἰς μικρὸν βίον.

Τοῖσι μὲν εὖ φρονέουσιν πᾶς ὁ βίος βραχὺς ὅδε.
Τοῖς δὲ κακῶς, μία νὺξ ἄπλετός ὅδε χρόνος.

Τοῦ

Τῦ αὐτῦ, Εἰς χάειτας.

Ὠκεῖαι χάειτες, γλυκιέφτεραι· ἢν δὲ βραδύνῃ,
Πᾶσα χάεις κενεὴ, μηδὲ λέγοιτο χάεις.

ΑΝΑΚΡΕΟΝΤΟΣ.

Εἰς τὸ ἀφθόνως ζῆν.

Οὐ μοι μέλει Γύγαο
Τῦ σαρδίων ἄνακτος,
Οὔθ' αἱρέει με χρυσὸς,
Οὐδὲ φθονῶ τυράννοις.
Ἐμοὶ μέλει μύρτοισι
Καταβρέχειν ὑπήνην,
Ἐμοὶ μέλει Ῥόδοισι
Καταστέφειν κάρηνα.
Τὸ σήμερον μέλει μοι,
Τὸ δ' αὔριον τίς οἶδε;

Τὸν ἄργυρον τρεύσας
Ηφαιστέ μοι ποίησον,
Πανοπλίας μὲν οὐχί·
Τί γὰρ μάχαισι καμοί;
Ποτήριον δὲ κοῖλον,
Ὅσον δύνῃ, βάθυνον.
Ποίει δέ μοι κατ' αὐτὸ
Μηδ' ἄστρα, μηδ' ἀμάξας,
Μὴ συγνὸν ὠρίωνα.
Τί πλειάδων μέλει μοι
Τί δ' ἀστέρος βοώτεω
Ἀλλ' ἀμπέλους χλοώσας,
Καὶ βότρυας γελῶντας
Σὺν τῷ καλῷ Λυαίῳ·
Ἔρωτα, καὶ βάθυλλον.

Οὐκ ὀρθῶς Πέτρον τὸν Κρινίτον ἐλέγχει Βαρνέσιος, φὰς αὐτὸν τούτῳ τὴν ᾠδὴν ἐκ δυεῖν μίαν συνάψαντα· ἐπεὶ μίαν καὶ αὐτῷ αὐτὸς ᾠήθη τῇ τῶ Λαβεείκ ῥωμαϊκῇ μεταφράσει ἐπεισόμενος.

Εἰς

Εἰς τὸ γῆρας.

Πολιοὶ μὲν ἥμιν ἤδη
Κρόταφοι, χάρη δὲ λευκόν.
Χαλέπα δ' ἐκ ἔθ' Ἥβη
Πάρα· γηραλέοι δ' ὀδόντες·
Γλυκερῶ δ' ἐκ ἔτι πολλὸς
Βιότῳ χρόνος λέλειπται.
Διὰ ταῦτ' ἀναψαλύζω
Θαμὰ, Τάρταρον δεδοικώς·
Ἀΐδεω γάρ ὄξυ δεινὸς
Μυχός· ἀργαλέη δ' ἐς αὐτὸν
Κάθοδος· καὶ γὼ ἕτοιμον
Καταβάντι μὴ ναβῆναι.

Ὅτι πίνειν δεῖ μετρίως.

Ἄγε δὴ, φέρ' ἥμιν, ὦ παῖ,
Κελέβιον, ὅπως ἄμυσιν
Προπίω· τὰ μὲν δέκ' ἔγχει

Ὕδατος, τὰ πέντε δ' οἴνου
Κυάθους· ὑβριστῶσαν
Φρένα δεῦε Βασσάρησιν.
Ἄγε δῶτε· μηκέθ' ὕτω,
Πατάγῳ τε καλαλητῷ
Σκυθικῶν πόσιν παρ' οἴνῳ
Μέλετῶμεν· ἀλλὰ καλοῖς
Ὑποπινόμεθ' ἐν ὕμνοις.

ΠΙΝΔΑΡΟΥ

ΟΛΥΜΠΙΑ

Διαγόρᾳ Ῥοδίῳ, Πύκτῃ

Εἶδος Ζ'.

Στροφὴ α'. κώλων ια'.

Φιάλαν ὡς εἴ τις ἀ-
φνειᾶς ὑπὸ χειρὸς ἐλὼν,
ἔνδον ἀμπέλου καχλάζοι-
σαν δρόσῳ, δωρήσεται
νεανίᾳ γαμβρῷ, σεθπίνων

οἴκαδε

οἴκοθεν οἴκαδε, πάγ-
χρυσον, κορυφὰν κτεάνων,
συμποσίῳ τε χάριν, κἄδος τε τιμά-
σας ἑὸν, ἐν δὲ φίλων
παρεόντων, θῆκέ μιν ζα-
λωτὸν ὁμόφρονος εὐνᾶς.

Ἀντιστροφὴ α'. κώλων ια'.

Καὶ ἐγὼ νέκταρ χυτὸν,
μοισᾶν δόσιν, ἀθλοφόροις
ἀνδράσιν πέμπων, γλυκὺν καρ-
πὸν φρενός γ', ἱλάσκομαι
Οὐλυμπία, Πυθοῖ τε νικῶν-
τεσσιν. Ὁ δ' ὄλβιος, ὃν
φᾶμαι κατέχοντ' ἀγαθαί.
ἄλλοτε δ' ἄλλον ἐποπτεύει χάρις ζω-
θάλμιος, ἁδυμελεῖ
θ' ἅμα μὲν φόρμιγγι, παμφω-
νοισί τ' ἐν ἔντεσιν ἀυλῶν.

Ἐπῳδὸς α'. κώλων ιγ'.

Καὶ νῦν ὑπ' ἀμφοτέρων,
σὺν Διαγόρᾳ κατέβαν, τὰν πυγτίαν

ὑμνέων παῖδ' Ἀφροδίτας,
Ἀελίοιό τε νύμφαν,
Ῥόδον εὐθυμάχαν,
ὄφρα πελώριον ἄνδρα παρ' Ἀλ-
φειῷ στεφανωσάμενον
αἰνέσω, πυγμᾶς ἄποινα,
καὶ ᾠδᾷ Καστα λίᾳ·
πατέρα τε Δαμάγητον ἀδόντα δίκᾳ·
Ἀσίας εὐρυχόρου
τρίπολιν νᾶσον πέλας
ἐμβόλῳ ναίοντας, Ἀργείᾳ σὺν αἰχμᾷ.

Στροφὴ β'. κώλων ια'.

Ἐθελήσω τοῖσιν ἐξ
ἀρχᾶς ἀπὸ Τλαπολέμου
ξυνὸν ἀγγέλλων διορθῶ-
σαι λόγον, Ἡρακλέος
εὐρυσθενεῖ γέννᾳ. Τὸ μὲν γὰ
πατρόθεν, ἐκ Διὸς εὔ-
χονται· τὸ δ' Ἀμυντορίδαι
μᾶτρόθεν, Ἀσυδαμείας. ἀμφὶ δ' ἀνθρώ-
πων φρεσὶν ἀμπλακίαι

ἀνα-

ἀναρίθμητοι κρέμανται.
τοῦτο δ' ἀμάχανον εὑρεῖν,

Ἀντιστροφὴ β'. κώλων ια'.

ὅ,τι νῦν καὶ ἐν τελευ-
τᾷ φέρταται ἀνδρὶ τυχεῖν.
καὶ γὰ Ἀλκμήνας κασίγνη-
τον νόθον, σκάπτῳ θένων
σπληρᾶς ἐλαίας, ἔκταν' ἐν Τί-
ρυνθι Λικύμνιον, ἐλ-
θόντ' ἐκ θαλάμων Μιδέας,
τᾶσδέ ποτε χθονὸς οἰκιστὴρ χολωθείς·
αἱ δὲ φρενῶν ταραχαὶ
παρέπλαξαν καὶ σοφόν. μαν-
τεύσατο δ' ἐς θεὸν ἐλθών.

Ἐπῳδὸς β'. κώλων ιγ'.

Τῷ μὲν ὁ χρυσοκόμας
εὐώδεος ἐξ ἀδύτου, ναῶν πλόον
εἶπε Λερναίας ἀπ' ἀκτᾶς
στέλλειν ἐς ἀμφιθάλασσον
νομόν. ἔνθά ποτε
βρέχε θεῶν βασιλεὺς ὁ μέγας

χρυσαῖς νιφάδεσσι πόλιν,
ἀνίχ' Ἀφαίστου τέχναισι
χαλκελάτῳ πελέκει,
πατέρος Ἀθαναία κορυφὰν κατ' ἄκραν
ἀνορούσασ', ἀλάλα-
ξεν ἰαχμάκει βοᾷ·
σεμνὸς δ' ἔφριξέ νιν καὶ γαῖα μάτηρ.

Στροφὴ γ'. κώλων ια'.

Τότε καὶ Φαυσίβροτος
δαίμων Ὑπερμονίδας
μέλλων ἔντειλεν φυλάξασ-
θαι χρέος παισὶν φίλοις,
ὡς ἂν θεᾷ σεφτοὶ κτίσαιεν
βωμὸν ἐναφγέα, καὶ
σεμνὰν θυσίαν θέμενοι,
πατρί τε θυμὸν ἰάναιεν, κόρᾳ τ' ἐγ-
χειβρόμῳ. ἐν δ' ἀρετὰν
ἔβαλεν, καὶ χάρματ' ἀνθρώ-
ποισι Προμαθέως αἰδῶς.

Ἀντιστροφὴ γ'. κώλων ια'.

Ἐπὶ μὰν βαίνει τι καὶ

λάθας

λάθας ἀτέκμαρτα νέφος,
καὶ παρέλκει πραγμάτων ὀρ-
θὰν ὁδόν γ' ἔξω φρενῶν.
καίτοι γὼ αἰθέσας ἔχοντες
σπέρμ' ἀνέβαν φλογὸς ὕ,
τεῦξαν δ' ἀπύεθις ἱεθῖς
ἄλσος ἐν ἀκεθπόλει. κείνοισι μὲν ξαν-
θὰν ἀγαγὼν νεφέλαν,
πόλὺν ὗσε χρυσόν· αὐτὰ
δ' ἐ σφισιν ὤπασε τέχναν
Ἐπῳδὸς γ'. κώλων ιγ'.
πᾶσαν, ὀπιχθονίων,
γλαυκῶπις, ἀειεοπόνοις χερσὶ κρατεῖν.
ἔργα δὲ ζωοῖσιν ἑρπόν-
τεσί θ' ὁμοῖα κέλευθοι
φέρον· ἦν δὲ κλέος
βαθύ. δαέντι δὲ καὶ σοφία
μείζων ἄδολος τελέθει.
φαντὶ δ' ἀνθρώπων παλαιαὶ
ῥήσιες, ἔπω, ὅτε
χθόνα δατέοντο Ζεύς τε καὶ ἀθάνατοι,

Φανε-

Φανερὰν ἐν πελάγει
Ῥόδον ἔμμεν ποντίῳ.
ἀλμυρεγῖς δ' ἐν βένθεσιν νᾶσον κεκρύφθαι.

Στροφὴ δ'. κώλων ια'.

Ἀπεόντος δ' ἔ τις ἔν-
δειξεν λάχος ἀελίῳ.
καὶ ῥά μιν χώρας ἀκλάρω-
τον λίπονθ' ἁγνὸν θεόν.
μναθέντι δὲ Ζεὺς ἄμπαλον μέλ-
λεν θέμεν· ἀλλά μιν ὐκ
εἴασεν· ἐπεὶ πολιᾶς,
εἶπέ, τιν' ἀυτὸς ὁρᾷν ἔνδον θαλάσσας
ἀυξομέναν πεδόθεν
πολύβοσκον γαῖαν ἀνθρώ-
ποισι, καὶ εὔφρονα μάλοις.

Ἀντιστροφὴ δ'. κώλων ια'.

Ἐκέλευσεν δ' ἀυτίκα
χρυσάμπυκα μὲν Λάχεσιν
χεῖρας ἀντεῖναι, θεῶν δ' ὅρ-
κον μέγαν μὴ παρφάμεν·
ἀλλὰ Κρόνῳ σὺν παιδὶ νεῦσαι,

φάεννὸν

φαεινὸν ἐς αἰθέρα μιν
πεμφθεῖσαν, ἑᾷ κεφαλᾷ
ἐξοπίσω γέρας ἔσεσθαι. τελέυτα-
σαν δὲ λόγων κυρυφαὶ
ἐν ἀληθείᾳ πεσοῖσαι.
βλάστε μὲν ἐξ ἁλὸς ὑγρᾶς·
Ἑπφδὸς δ'. κώλων ιγ'.
νάσος· ἔχει τέ μιν ὀ-
ξειᾶν ὁ γενέθλιος ἀκτίνων πατὴρ,
πῦρ πνεόντων ἀρχὸς ἵππων·
ἔνθα Ῥόδῳ ποτὲ μιχθεὶς
τέκεν ἑπτὰ, σοφώ-
τατα νοήματ' ὀπὶ προτέρων
ἀνδρῶν παραδεξαμένους
παῖδας· ὧν εἷς μὲν Κάμειρον,
πρεσβύτατόν τε Ἰά-
λυσον ἔτεκεν, Λίνδον τ'. ἀπάτερθε δ' ἔχον,
διὰ γαῖαν τείχα δασ-
σάμενοι, πατρωΐαν
ἀρέων μοῖραν· κέκληντω δέ σφιν ἕδραι.

Στρο-

Στροφὴ ε'. κώλων ια'.

Τόθι λύτρον συμφορᾶς
οἰκτρᾶς γλυκὺ Πλαταιεῖ
ἵσατον Τιρυνθίων ἀρ-
χαγέτᾳ, ὥστερ θεῷ,
μάλων τε κνισάεσσα πομπά,
καὶ κέλευθος ἀμφ' ἀέθλοις.
τῶν ἄνθεσι Διαγόρας
ἐστεφανώσατο Ῥόδος· κλεινᾷ τ' ἐν Ἰσθμῷ
τετράκις εὐτυχέων·
Νεμέᾳ τ' ἄλλαν ἐπ' ἄλλᾳ·
καὶ κρανααῖς ἐν Ἀθάναις.

Ἀντιστροφὴ ε'. κώλων ια'.

Ὅ,τ' ἐν Ἄργει χαλκὸς ἔ-
γνω μιν· τά τ' ἐν Ἀρκαδίᾳ
ἔργα· καὶ Θήβαις· ἀγῶνές
τ' ἔννομοι Βοιώτιοι·
Αἴγινα, Πελλάνα τε, νικῶν-
θ' ἑξάκις· ἐν Μεγάρεσ-
σίν τ' ἐχ ἕτερον λιθίνα
ψᾶφος ἔχει λόγον. ἀλλ' ὦ Ζεῦ πάτερ, νώ-

τοισιν

τοισιν Ἀταβυρίοις
μεδέων, τίμα μὲν ὕμνου
τεθμὸν, Ὀλυμπιονίκαν
Ἐπῳδὸς ε. κώλων ιγ'.
ἄνδρα τε, πυξ ἀρετὰν
εὐρόντα, δίδοι τέ οἱ αἰδοίαν χάριν
καί ποτ' ἀεθῶν, καὶ ποτὶ ξεί-
νων. ἐπεὶ ὕβριος ἐχθρὰν
ὁδὸν εὐθυπορεῖ,
σάφα δαείς, ἅτε οἱ πατέρων
ὀρθαὶ φρένες ἐξ ἀγαθῶν
ἔχραον. μὴ κρύπτε κοινὸν
αὐτέρμ' ἀπὸ Καλλιάνα-
κτος, Ἐρατιδᾶν τοι σὺν χαρίτεσσιν. ἔχει
θαλίας καὶ πόλις. ἐν
δὲ μιᾷ μοίρᾳ χρόνου,
ἄλλοτ' ἀλλῶν διαθύουσιν αὖραι.

ΘΕΟΚΡΙΤΟΥ

Νομεὺς, καὶ Βουκόλοι
Εἰδύλλιον θ'.

ΔΑΦΝΙΣ, καὶ ΜΕΝΑΛΚΑΣ.

ΜΕ. Βωκολιάσδεο, Δάφνι· τὺ δ' ὠδᾶς ἄρχεο πρᾶτος
Ὠιδᾶς ἄρχεο πρᾶτος, ἐφαψάθω δὲ Μενάλκας.
Μόχθως βωσὶν ὑφέντες· ὅπι σείραισι δὲ Ταύρος.
Χ' ὡ μὲν ἁμᾶ βόσκοιντο, καὶ ἐν Φύλλοισι πλανᾶντο
Μηδὲν ἀτιμαγελεῦντες. ἐμὶν δὲ τὺ βωκολιάσδευ
Ἔμπροθεν. ἄλλωθεν δέ γ' ὑποκρείνοιτο Μενάλκας.

ΔΑ. Ἀδὺ μὲν ἁ μόχος γαρύεται, ἁδὺ δὲ χ' ἁ βῶς.
Ἁδὺ δὲ χ' ἁ σύριγξ, χ' ὁ βωκόλος.

κόλος· ἀδὺ δὲ κἠγών.
Ἐντὶ δέ μοι παρ' ὕδωρ ψυχρὸν
σιβάς· ἐν δὲ νένασται
Λευκᾶν ἐκ δαμαλᾶν καλὰ δέρ-
ματα, τάς μοι ἁπάσας
Λὶψ κόμαθεν ζωγοίσας ἀπὸ σκο-
πιᾶς ἐτίναξε.
Τᾷ δὲ θέρευς φρύγονΐος ἐγὼ τόσ-
σον μελεδαίνω,
Ὅσσον ἐρῶν τι παῖδὸς μύθων, κἠ
ματρὸς ἀκοῦαι.
Οὕτω Δάφνις ἄεισεν ἐμίν· ὅτω
δὲ Μενάλκας.

ΜΕ. Αἴτνα μᾶτερ ἐμά, κἠγὼ καλὸν
ἄντρον ἐνοικῶ
Κοίλαις ἐν πέτρησιν· ἔχω δέ τοι
ὄσσ' ἐν ὀνείρῳ
Φαίνονται, πολλὰς μὲν ὄϊς, πολλὰς δὲ χιμαίρας,
Ὧν μοι ἐπὶ κεφαλᾷ κἠ παρ' ποσὶ κώεα κεῖνται.

Ἐν

Ἐν πυρὶ δὲ δρυΐνῳ χορταζεῖ, ἐν πυρὶ δ' αὖαι
Φαγοὶ χειμαίνοντος· ἔχω δέ τοι ὐδ' ὅσον ὤρην
Χείματος, ἢ νωδὸς καρύων, ἀμύλιο παρόντος,
Τοῖς μὲν ἐπεπλατάγησα, νῦ αὐτίκα δῶρον ἔδωκα.
Δάφνιδι μὲν κορύναν, τάν μοι πατρὸς ἔτρεφεν ἀγρὸς
Αὐτοφυᾶ· τὰν ὐδ' ἂν ἴσως μωμάσατο τέκτων.
Τήνῳ δὲ τρόμβω καλὸν ὄσρακον, ὃ χρέας αὐτὸς
Σιτάθλῳ, πέτραισιν ἐν Ἰκαρίαισι δοκεύσας,
Πέντε ταμὼν, πέντ' ὗσιν. ὁ δ' ἐγκαναχήσατο κόχλῳ.
Βωκολικὴ μῶσα μάλα χαίρετε, φαίνετε δ' ὠδὰν
Τὰν ποκ' ἐγὼ τήνοισι παρὸν ἄεισα

σα

σα νομεῦσι.

Μηκέτ' ὄπι γλώσσας ἄκρας ὀλοφυγδόνα φύσης.

Τέττιξ μὲν τέττιγι φίλος, μύρμακι δὲ μύρμαξ.

Ἴρηκες δ' ἴρηξιν· ἐμὶν δ' ἁ μῶσα, καὶ ᾠδά.

Τᾶς μοι πᾶς εἴη πλεῖος δόμος. ἤτε γὰ ὕπνῳ,

Οὔτ' ἔαρ ἐξαπίνας γλυκερώτερον, ἤτε μελίσσας

Ἄνθεα, ὅσσον ἐμὶν μώσᾳ φίλᾳ. ἐς γὰ ὀρώσᾳ

Γαθεῦσιν, τὼς δ' ἔτι ποτὶ δαλήσατο Κίρκα.

Εἰκόνων διαγραφὴ τῶν ἁγίων Ἀποστόλων Πέτρου καὶ Παύλου, ὡς γε ἐν τοῖς μιναίοις, προσληφθεῖσα δὲ ἐκ τῆς ἄγαν παλαιᾶς κώδικος τῆς Βατικανῆς βιβλιοθήκης, καὶ ἀνακομισθεῖσα ὑπὸ τοῦ περιτιμιωτάτου Κυρίου Προέδρου Στεφάνου τοῦ Βοργία ἐκ τῶν ἀπορρήτων τῆς ἱερᾶς συναθροίσεως καὶ τῆς πλατυνθησομένης πίστεως ἐν τῷ ἐλλογιμωτάτῳ αὐτοῦ συγγράμματι καὶ τῆς Βατικανῆς Ὁμολογίας τοῦ ἁγίου Πέτρου κορυφαίου τῶν Ἀποστόλων ἐκδοθέντι Ῥώμηθεν αφοζ. φύλ. ρκη.

Ἦν δὲ τὴν ἰδέαν ὁ τοῦ Κυρίου Ἀπόστολος Πέτρος λευκὸς, ὑπωχρος, ἀναφάλας, ἕλος τὰς περιληφθείσας τρίχας. ὑποφαίνων δὲ ὀφθαλμοὺς αἱματώδεις, καὶ οἰνοπὸς, τὴν κάρηνα, καὶ τὸ γένειον πολιὸς· τὴν ῥῖνα ἔχων μακρὰν, ἀνεστραμμένως τὰς ὀφρῦς,

ὀφρῦς, τὴν ἡλικίαν μέτριος· ὅτι τὸ ὀρθότερον ἠγμένος τὸ χῆμα τῦ σώματος, σωφρονικός· ζήλῳ θείῳ ὀξέως κατὰ τῆς ἀδικίας κινούμενος· τοῖς μετανοοῦσι συγγνώμων καὶ εὐμετάβολος, καὶ ταχὺς τὰς πρότερας ψήφους παρακινῶν ἀπροπτώτως.

Ἦν δὲ τὴν ἰδέαν ὁ μακάριος Παῦλος ὁ Ἀπόστολος φαλακρὸς τὴν κεφαλὴν καὶ ψιλός. Χαροπὸς ἔχων τοὺς ὀφθαλμοὺς, κάτω νεύων τὰς ὀφρῦς. λευκὸς τὴν ὄψιν, πρόσφορος, εὖ μάλα τὸ γένειον κεκαθηκώς. εὐκαμπῆ καὶ εὐπρέπειαν ὅλῳ τῷ προσώπῳ τὴν ῥῖνα προφέρων. ὅτι τῆς κεφαλῆς καὶ τῦ πώγωνος μέλασι καὶ λευκαῖς θριξὶν ἐγκοσμούμενος, ἀγκυλαῖος, εὔρρους, ὅλον τὸ τῦ σώματος μέγεθος μικρὸς καὶ σωφρονικός, φρόνιμος, χαρίτων πλήρης, σεμνοῖς ἤθεσι, καὶ λόγοις ἐπαγωγοῖς, καὶ θείων θαυμάτων δυ-

νάμει

νάμει τοὺς πεποιθότας χειρόμβους. Ἀμφότεροι δὲ οἱ κυρυφαῖοι Πνεύματος ἁγίου καὶ θείας χάριτος ἔμπλεοι. Τελεῖται ἡ αὐτῶν σύναξις ἐν τοῖς ἁγίοις Ἀποστόλοις τοῖς μεγάλοις (1), καὶ ἐν τῷ Ὀρφανοτροφείῳ, ἢ ἐν τῷ σεπτῷ Ἀποστολείῳ τοῦ ἁγίου Ἀποστόλου Πέτρου τῷ συγκειμένῳ τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, ἢ ἐν πάσαις ταῖς κατὰ τόπον ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις.

(1) Τὰ ἐφεξῆς ἐν τοῖς ἐκδοθεῖσιν ὑπάρχει μικτάιοις.

ΤΕΛΟΣ.



201559